2. *οὐδ' ἐκεῖνο* 𝔄, *οὐδὲ ἐκεῖνα* ΨΩLF. *ἐμὲ*] *με* FL. *ἐπὶ τὴν γῆν* om ΩFL. *μοιχεύων* a. *χρυσίον* BACΔΨ𝔄 abc, *χρυσίον ἢ σάτυρος* ΩMFLd. verba *ἢ σάτυρος*, quae in prima edit. p. 10 recepi, possunt genuina videri, possunt eadem e similibus locis (ut e Prometh. II c. 17) interpolata esse. *ἀλλὰ ἐκεῖναι* 𝔄. *κἂν* om Δ. *μένωσι* FL. *δὲ* BACΨΩFL, *δ'* v. *ἰδαῖον* 𝔄ΩΔMFL et v, *εἰκαῖον* BACΨVTU. *μένουσι. εἰκαῖον δ' ἰδαῖον τουτὶ* c. *τουτὶ*] *τοῦτο* MF. *θεῶν* BACΨ et v, *ἀστῶν* Ω, *ἀετῶν* 𝔄ΔMFL, male. *συνοικεῖ ἡμῖν ἐπὶ* BAC𝔄ΨΩΔLTVF (ita VF, de M non constat), *συνοικεῖν ἡμῖν ἐπὶ* d, *συνοικεῖ ἡμῖν νῦν ἐπὶ* Y, *συνοικεῖν νῦν ἐπὶ* J, *συνοικεῖ νῦν ἐπὶ* edd. (praeter d) ante Hemsterhusium. *ἐπαχθὲν*] *ἀνεχθὲν* Ω, *ἀνενεχθὲν* MFL. *δῆ τῷ* F, *δὴ* (om *τῷ*) L. *οἰνοχόου* 𝔄. *ἀπηγορεύκει* 𝔄ΩMFL, *ἀπηγορεύκασιν* BACΨΔ et v. correxi *ἀπηγορεύκεσαν*, quod commendat grammatica, rhetorica postulat. *ἄρα*] *ἤδη* Ψ. *διακονού-*
η *οι*
μενος M. *τὸν κύλικα* 𝔄. *λάβοις* om L, *λάβοις* F, *λαβης* (sic) Ψ. *φιλήσας*] *φιλήσαις* BAN, *φιλήσεις* L. *ἁπάντων*] *πάντων*

λάκις αἰτεῖς πιεῖν· ὁτὲ δὲ καὶ ἀπογευσάμενος μόνον ἔδωκας ἐκείνῳ, καὶ πιόντος ἀπολαβὼν τὴν κύλικα ὅσον ὑπόλοιπον ἐν αὐτῇ πίνεις, ὅθεν καὶ ὁ παῖς ἔπιε καὶ ἔνθα προσήρμοσε τὰ χείλη, ἵνα καὶ πίνῃς ἅμα καὶ φιλῇς. πρώην δὲ ὁ βασιλεὺς καὶ ἁπάντων πατὴρ ἀποθέμενος τὴν αἰγίδα καὶ τὸν κεραυνὸν ἐκάθησο ἀστραγαλίζων μετ' αὐτοῦ, ὁ πώγωνα τηλικοῦτον καθειμένος. ἅπαντα οὖν ὁρῶ ταῦτα, ὥστε μὴ οἴου λανθάνειν. 3. *ΖΕΥΣ. καὶ τί δεινόν, ὦ Ἥρα, μειράκιον οὕτω καλὸν μεταξὺ πίνοντα καταφιλεῖν καὶ ἥδεσθαι ἀμφοῖν καὶ τῷ φιλήματι καὶ τῷ νέκταρι; ἢν γοῦν ἐπιτρέψω αὐτῷ κἂν ἅπαξ φιλῆσαί σε, οὐκέτι μέμψῃ μοι, προτιμότερον τοῦ νέκταρος οἰομένῳ τὸ φίλημα εἶναι. ΗΡΑ. παιδεραστῶν οὗτοι λόγοι. ἐγὼ δὲ μὴ οὕτω μανείην, ὡς τὰ χείλη προσενεγκεῖν τῷ μαλθακῷ τούτῳ Φρυγί, οὕτως ἐκτεθηλυμμένῳ. ΖΕΥΣ. μή μοι λοιδοροῦ, ὦ γενναιοτάτη, τοῖς παιδικοῖς. οὑτοσὶ γὰρ ὁ θηλυδρίας, ὁ βάρβαρος, ὁ * μαλθακός, ἡδίων καὶ ποθεινότερος — οὐ βούλομαι δὲ εἰπεῖν, μή σε παροξύνω ἐπιπλέον.* 4. *ΗΡΑ. εἴθε καὶ γαμή-*

ΩFL. *ὁρώντων, καὶ*] *ὁρώντων, ἢ καὶ* BACΔM (ita M) Ψ. *πιεῖν*] *ποιεῖν* 𝔄. *ὁτὲ δὲ* BACΨ, *ὅτε δὲ* Δ, *ἐνίοτε δὲ* 𝔄 et v, *ἐνίοτέ γε* ΩMFL. *ὁτὲ δὲ — καὶ φιλῇς*] in ipsum Jovem translatae sunt deliciae juvenis amore diffluentis, quas eodem modo scriptores describunt erotici, velut Achilles Tatius II, 9 et Aristaenetus Ep. XXV, ubi Abreschius p. 157 plura addidit. *ὅσον ὑπόλοιπον*] *ὁπόσον ἔτι λοιπὸν* 𝔄, *ὅσον ἐπίλοιπον* FLd. *ὁ παῖς* BAC𝔄ΨΩMFLd, *αὐτὸς* v. *ἔπιεν* F. *ἵνα καὶ*] *καὶ* om L. *ἁπάντων*] *ὁ πάντων* F. *ὁ πώγωνα* BACΔNΨ, *πώγωνα* 𝔄ΩF et v. *καθήμενος* L. *ἅπαντα οὖν* BACΔΨ, *πάντα οὖν* 𝔄ΩM et v, *πάντα* (om *οὖν*) L.

3 *ἢν*] *εἰ* L. *προτιμότερον*] *ποτιμώτερον* 𝔄Ω soli, *ποτιμότερον* L. *οἰομένῳ*] *οἰομένην* 𝔄, *οἰομένη* M, cui repugnant et quae praecedunt et quae sequuntur. *λόγοι*] *οἱ λόγοι* ΔNF soli. *Φρυγὶ*] *παιδὶ* Ψ. *οὕτως*] *τῷ* 𝔄ΩFL. *ἐκτεθηλυμμένῳ* Hemsterhusi editio, *ἐκτεθηλυμένῳ* BAC𝔄ΨΩΔMFLJabc et lemma scholii. vide Cobetum V. L. p. 225. *μή μοι λοιδοροῦ* BACΨ, *μή μου λ.* 𝔄 et v, *μὴ λοιδοροῦ* ΩMFL. *ὦ γενναία* ΩMFL. *οὑτοσὶ*] *οὗτος* ACΔ𝔄Ψ. *μαλθακὸς*] *μαλακὸς* 𝔄. *ἡδίων καὶ* BACΨ et v, *ἡδίων ἐμοὶ καὶ* 𝔄ΩMFL, quod natum videtur ex § 2: *τὸ φίλημά σοι ἥδιον τοῦ ν.* *δὲ* om 𝔄.

σειας αὐτὸν ἐμοῦ γε ἕνεκα. μέμνησο δοῦν οἷά μοι διὰ τὸν οἰνοχόον τοῦτον ἐμπαροινεῖς. ΖΕΥΣ. οὔκ· ἀλλὰ τὸν Ἥφαιστον ἔδει τὸν σὸν υἱὸν οἰνοχοεῖν ἡμῖν χωλεύοντα, ἐκ τῆς καμίνου ἥκοντα, ἔτι τῶν σπινθήρων ἀνάπλεων, ἄρτι τὴν πυράγραν ἀποτεθειμένον, καὶ ἀπ' ἐκείνων αὐτοῦ τῶν δακτύλων λαμβάνειν ἡμᾶς τὴν κύλικα, καὶ ἐπισπασαμένους γε φιλῆσαι μεταξὺ, ὃν οὐδ' ἂν ἡ μήτηρ σὺ ἡδέως φιλήσειας ὑπὸ τῆς ἀσβόλου κατηθαλωμένον τὸ πρόσωπον· ἡδίω ταῦτα· οὐ γάρ; καὶ παρὰ πολὺ ὁ οἰνοχόος ἐκεῖνος ἔπρεπε τῷ συμποσίῳ τῶν θεῶν, ὁ Γανυμήδης δὲ καταπεμπτέος αὖθις ἐς τὴν Ἴδην· καθάριος γὰρ καὶ ῥοδοδάκτυλος καὶ ἐπισταμένως ὀρέγει τὸ ἔκπωμα, καὶ ὅ σε λυπεῖ μάλιστα, καὶ φιλεῖ ἥδιον τοῦ

---

4. εἴθε καὶ om 𝔄. γαμήσεις Δ. ἐμοῦ γε ἕνεκα ΨΩΔF cum Hemsterhusio, ἐμοῦ γε οὕνεκα BC, ἐμοῦ γε οὕνεκα A, ἐμοῦ ἕνεκα 𝔄 et v. δ' οὖν F, ut olim edidi, δοῦν Ω, οὖν 𝔄, δὲ L, γοῦν BACΨΔ et v. οἷα — τοῦτον] οἷα διὰ τὸν οἰνοχόον μοι τοῦτον 𝔄, διὰ τὸν οἰνοχόον τοῦτον οἷά μοι Ψ. ἔδει] φῂς L.
ἡμῖν om 𝔄. ἀποτεθειμένον BC𝔄ΨΩΔNMF, ἀποτεθειμένον; A, ἀποθέμενον J, ἀποτιθέμενον v. αὐτοῦ BAC𝔄ΨΩΔNFLM, αὐτῶν v. καὶ ἐπισπασαμένους γε BA𝔄Ψ, καὶ ἐπισπασάμενός γε C (diserte), ἐπισπασαμένους τε (om καὶ) ΩMF, καὶ ἐπισπασαμένους (om γε) v. μεταξὺ, οὐδ' (om ὃν) BC, μεταξὺ; οὐδ' A, sed in marg. cum linea (indice corruptionis). ἀσβόλου A, ἀσβόλης (ης supra scriptum) 𝔄Ψ.
καταιθαλωμένον L. ceterum eodem joco utitur Juvenalis XIII, 44 sq. ἡδίω ταῦτα BC𝔄ΨΩΔMFLY. nova persona ante ἡδίω ταῦτα; (sic) A, Ἥρα. ἡδίω ταῦτα. Ζεύς. οὐ — V, ἡδέως ταῦτα v, errore e superioribus petito. καὶ (ante παρὰ πολὺ) om ΩFL.
ὁ οἰνοχ.] ὁ om ΔΩF. ἔπρεπε BAV𝔄Ψ, ἐμπρέπει ΩF et v, quae mera est conjectura. in tali l. ne dicit quidem noster ἐμπρέπειν, sed potius ἐπιπρέπειν. γαννυμήδης 𝔄, γαννυμίδης F. κατάπεμπτος MF, καταμεμπτὸς L. ἐς] εἰς MFL. καθάριος BACΔ𝔄Ψ, καθαρὸς ΩFM (ita M) et v. καθάρειος Cobetus V, L. p. 82, quod qui comicis primus bene vindicavit Meinekius ad Menandr. p. 271 ed. pr., tamen vulgare καθάριος plane ejiciendum esse negavit, codicum reverentia tactus, qui in sermone pedestri ubique reluctantur.
γὰρ] δὲ F. ἔκπωμα BAC𝔄ΨΩΔMF, ἔκπομα v. ὅ γε λυπεῖ A, ὃ σὲ λυπεῖ F, ὃ λυπεῖ σε Δ, ὅ σε μάλιστα λυπεῖ 𝔄.
καὶ φιλεῖ] ita recte libri omnes, etiam F, in quo καὶ supra scriptum est. vide Quaestt. L. p. 184.

νέκταρος. 5. *ΗΡΑ.* νῦν καὶ χωλὸς, ὦ Ζεῦ, ὁ Ἥφαιστος καὶ οἱ δάκτυλοι αὐτοῦ ἀνάξιοι τῆς σῆς κύλικος καὶ ἀσβόλου μεστός ἐστι, καὶ ναυτιᾷς ὁρῶν αὐτὸν, ἐξ ὅτου τὸν καλὸν κομήτην τοῦτον ἡ Ἴδη ἀνέθρεψε· πάλαι δὲ οὐχ ἑώρας ταῦτα, οὐδ' οἱ σπινθῆρες οὐδὲ ἡ κάμινος
216 ἀπέτρεπόν σε * μὴ οὐχὶ πίνειν παρ̉ αὐτοῦ. *ΖΕΥΣ.* λυπεῖς, ὦ Ἥρα, σεαυτὴν, οὐδὲν ἄλλο, κἀμοὶ ἐπιτείνεις τὸν ἔρωτα ζηλοτυποῦσα. εἰ δὲ ἄχθῃ παρὰ παιδὸς ὡραίου δεχομένη τὸ ἔκπωμα, σοὶ μὲν ὁ υἱὸς οἰνοχοείτω, σὺ δὲ, ὦ Γανύμηδες, ἐμοὶ μόνῳ ἀναδίδου τὴν κύλικα, καὶ ἐφ' ἑκάστῃ δὶς φίλει με, καὶ ὅτε πλήρη ὀρέγοις, κᾆτ' αὖθις ὁπότε παρ̉ ἐμοῦ ἀπολαμβάνοις. τί τοῦτο; δακρύεις; μὴ δέδιθι· οἰμώξεται γὰρ, ἤν τίς σε λυπεῖν θέλῃ.

VI.

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

1. *ΗΡΑ.* Τὸν Ἰξίονα τοῦτον, ὦ Ζεῦ, ποῖόν τινα τὸν τρόπον ἡγῇ; *ΖΕΥΣ.* ἄνθρωπον εἶναι χρηστὸν,

---

5. νῦν καὶ] καὶ om ΩM. ὁ Ἥφαιστος ὦ Ζεῦ M. ἀσβόλης μεστὸς Ψ𝔄, ἀσβολούμενος Δ. ἐξ ὅτου BΨ𝔄, ἐξότου ACΔ et v, ἐξ οὗ ΩMFL. τοῦτον κομήτην Ω, τοῦτον (om κομήτην) 𝔄. ἡ Ἴδη ἀνέτρεψε BAC𝔄ΨΩΔ et v, ἡ Ἴδη ἡμῖν ἀνέτρεψε M, ἡμῖν ἡ Ἴδη ἀνέτρεψε FL (ita L). οὐδὲ οἱ Ω𝔄MFL. οὐδὲ ἡ BAC𝔄MFL, οὐδ' ἡ v. μὴ οὐ πίνειν M, τοῦ μὴ πίνειν F.
οὐ
μηδὲν ἄλλο BA, μηδὲν pr m οὐδὲν sec C (ita C), παρὰ] περὶ Ψ. ἔκπωμα BAC𝔄ΨΩΔMFNLJ, ἔκπομα v. δ' ὦ 𝔄. γαννύμηδες 𝔄, γαννύμιδες F. ἀναδίδου] δίδου ΩMFL. ἑκάστης L. φίλει με] φίλει ἐμὲ Δ. ὀρέγοις B𝔄 et v, ὀρέγεις ACΨΩΔMFLJ et (?) V. κᾆτ' αὖθις Ψ, κᾶτα αὖθις B, κᾶτα αὖτις ACΩ, καὶ αὖθις 𝔄 et v. ὁπότε] ὅτε 𝔄L. ἀπολαμβάνοις B𝔄J et v, ἀπολαμβάνεις ACΨM et (?) V, λαμβάνοις Δ (ita Δ), λαμβάνεις ΩFL. τί τοῦτο; δακρύεις; Belinus pro τί τοῦτο δακρύεις; — μὴ δείδιθι Y, μὴ δέδιθι et γὰρ om L. θέλῃ BACΨ, ἐθέλῃ 𝔄ΩΔMFL et v. videtur comoediae novae versus fuisse hicce: οἰμώξεται γάρ, ἤν σέ τις λυπεῖν θέλῃ. syntaxis est eadem in Arist. Thesmoph. v. 248.

VI.

1. τοῦτον ὦ AC𝔄ΩMF, τοῦτον ὁρᾶις ὦ B, τοῦτον ὁρᾷς ὦ ΨΔ et v. ποιόν F. τὸν om F. ἡγῇ ἄνθρωπον εἶναι;

ὦ Ἥρα, καὶ συμποτικόν· οὐ γὰρ ἂν συνῆν ἡμῖν ἀνάξιος τοῦ συμποσίου ὤν. ΗΡΑ. ἀλλ' ἀνάξιός ἐστιν, ὑβριστής γε ὤν· ὥστε μηκέτι συνέστω. ΖΕΥΣ. τί δὲ ὕβρισε; χρὴ γάρ, οἶμαι, κἀμὲ εἰδέναι. ΗΡΑ. τί δ' ἄλλο; * καίτοι 217
αἰσχύνομαι εἰπεῖν αὐτό. τοιοῦτόν ἐστιν ὃ ἐτόλμησεν. ΖΕΥΣ. καὶ μὴν διὰ τοῦτο καὶ μᾶλλον εἴποις ἄν, ὅσῳ καὶ αἰσχροῖς ἐπεχείρησε. μῶν οὖν ἐπείρα τινά; συνίημι γάρ, ὁποῖόν τι τὸ αἰσχρὸν αὐτοῦ, ὃ σὺ ὀκνήσειας εἰπεῖν.
2. ΗΡΑ. αὐτὴν ἐμέ, οὐκ ἄλλην τινά, ὦ Ζεῦ, πολὺν ἤδη χρόνον· καὶ τὸ μὲν πρῶτον ἠγνόουν τὸ πρᾶγμα, διότι ἀτενὲς ἀφεώρα ἐς ἐμέ. ὅτε δὲ καὶ ἔστενε καὶ ὑπεδάκρυε, καὶ εἴ ποτε πιοῦσα παραδοίην τῷ Γανυμήδει τὸ ἔκπωμα, ὁ δὲ ᾔτει ἐν αὐτῷ ἐκείνῳ πιεῖν καὶ λαβὼν ἐφίλει μεταξὺ καὶ πρὸς τοὺς ὀφθαλμοὺς προσῆγε καὶ αὖθις ἀφεώρα ἐς ἐμέ, ταῦτα δὲ ἤδη συνίειν ἐρωτικὰ ὄντα. καὶ ἐπὶ πολὺ μὲν ᾐδούμην λέγειν πρὸς σὲ καὶ ᾤμην

ΖΕΥΣ. χρ. 𝔄. ξυμποτικὸν — ξυνῆν — ξυνέστω 𝔄. ἀλλ'] ἀλλὰ BAΨΩMF. ἐστιν BAMF, ἐστι v. γε om Ψ. δαὶ BACJabc, δέ σε 𝔄, δὲ ΨΩF et v. χρὴ] χρηστὸν V et qui χρηστ`` Δ (ita Δ). τί δὲ ἄλλο 𝔄, τί γὰρ ἄλλο; ΩMF. καίτοι 𝔄ΩMF, καί τε Ψ, καί γε BACΔ, καὶ γὰρ v. τοιουτό F. ἐτόλμησεν Ψ, ἐτόλμησε caeteri et v. διατοῦτο BAF. καὶ μᾶλλον] μᾶλλον 𝔄. ὅσῳ καὶ αἰσχροῖς BACNΨ, ὅσῳ καὶ αἰσχροῦ pr m., αἰσχροῖς sec m Δ (ita Δ), ὅσων καὶ αἰσχροῖσιν M (ita M), ὅσων καὶ αἰσχρῶν
α
U et fortasse V, ὅσον καὶ αἰσχροῖς Ω, ὅσον καὶ αἰσχροῖς J, ὅσῳ αἰσχίοσιν 𝔄, ὅσον καὶ αἰσχίοσιν F, ὅσον καὶ αἰσχροῖς v. Cobetus V. L. p. 227: ‚etiam sine libris scribendum erat ὅσῳ καὶ αἰσχίοσιν pro αἰσχροῖς.' atqui sciebat antiquam lectionem ὅσῳ καὶ αἰσχροῖς ab Abreschio Dilucc. Thucyd. p. 337 et p. 648 defensam nos omnes edidisse, comparatis etiam D. Mort. VI, 3, Alexand. 2 fin., Harmonid. 3, Pro Lapsu 12, Imagin. 17. ὅσῳ positivo junctum imitari et ‚quanto' vertere Tacitus solet, ut in Annal. I, 68. μῶν δ' οὖν 𝔄ΩMF. ἐπείρα] πειρᾷ ΩM, πειρᾷ F. συνιμι Δ. ὁποῖόν τι om Ψ. τὸ αἰσχρὸν αὐτοῦ, ὃ σὺ Ψ recte, τὸ αἰσχρὸν αὐτὸ ὃ σὺ BAC, ὃ σὺ etiam Δ, τὸ αἰσχρὸν ὅπερ ἂν σὺ 𝔄ΩMF, τὸ αἰσχρὸν ὅπερ ἂν v.

2. αὐτὴν] ταύτην ΩMF. ὦ Ζεῦ οὐκ ἄλλην τινὰ F. ἀφεώρα] ἑώρα ΩM, ἐφεώρα Δ, ἀμφεώρα J. ἐς] εἰς ΩF. ὁ δὲ καὶ ἔστενε BACΔΨ et v, ὁ δὲ καὶ ἔστενε om ΩF, sed ὅτε δὲ

παύσεσθαι τῆς μανίας τὸν ἄνθρωπον· ἐπεὶ δὲ καὶ λόγους ἐτόλμησέ μοι προσενεγκεῖν, ἐγὼ μὲν ἀφεῖσα αὐτὸν ἔτι δακρύοντα καὶ προκυλινδόμενον, ἐπιφραξαμένη τὰ ὦτα, ὡς μηδὲ ἀκούσαιμι αὐτοῦ ὑβριστικὰ ἱκετεύοντος, ἀπῆλθον σοὶ φράσουσα· σὺ δὲ αὐτὸς ὅρα, ὅπως μέτει τὸν ἄνδρα. 3. *ΖΕΥΣ. εὖ γε ὁ κατάρατος ἐπ' ἐμὲ αὐτὸν*
218 *καὶ μέχρι τῶν Ἥρας γάμων· τοσοῦτον * ἐμεθύσθη τοῦ νέκταρος. ἀλλ' ἡμεῖς τούτων αἴτιοι καὶ τὸ πέρα τοῦ μετρίου φιλάνθρωπον, οἵ γε καὶ συμπότας αὐτοὺς ἐποιησάμεθα. συγγνωστοὶ οὖν, εἰ πιόντες ὅμοια ἡμῖν καὶ ἰδόντες οὐράνια κάλλη καὶ οἷα οὔ ποτε εἶδον ἐπὶ γῆς, ἐπεθύμησαν ἀπολαῦσαι αὐτῶν ἔρωτι ἁλόντες· ὁ δ' ἔρως βίαιόν τί ἐστι καὶ οὐκ ἀνθρώπων μόνον ἄρχει ἀλλὰ*

καὶ ὑπέστενε 𝔄, *ὅτε δὲ καὶ ἔστενε* M, uti Solanus divinarat: quod ipsum jam in prima edit. p. 14 ego solus summo jure recepi. *ὑπεδάκρυεν* F. *παραδοίην* BACΨ𝔄 et v, *ἀποδοίην* ΔM, *ἀναδοίην* ΩF. *ἀναδοίην* quum ego in prima edit. recepissem, id quidem C. F. Hermanno non probavi, qui hoc verbum ita dici male negabat. at vide D. D. IV, 4, ibid. V, 5 et Aristoph. Acharn. v. 233. *Γαννυμήδει* 𝔄, *Γαννυμήδη* M. *ἔκπωμα* libri, *ἔκπομα* edd. vett.

λαβὼν] *λαχὼν* Ψ. *ἀφεώρα*] ‚pro *ἀφ* in B primo aliud quid scriptum erat'. *εἰς ἐμὲ* ΩMF. *ταῦτα δὲ ἤδη* BACΨΩ𝔄ΔMF, *ταῦτα ἤδη* v. *συνίειν* F, *συνίην* 𝔄Ω et v, *συνήειν* AΨ, *συνῄειν* B. *παύσεσθαι* BAC𝔄ΨΩΔMN, *παύσασθαι* v. *ἐγὼ μὲν αὐτὸν ἀφῆκα ἔτι δακρ.* 𝔄. *προκυλινδούμενον* BACΨΔ et v, *προκυλινδούμενον μοῦ* MF, *προσκυλινδόμενόν μου* Ω, *προκυλινδόμενόν μου* 𝔄. ita partim confirmatur attica forma *προκυλινδόμενον*, probata illa Cobeto V. L. p. 134 et recepta ab Dindorfio. *μηδὲ*] *μὴ* 𝔄. *ἀπῆλθον*] *ἅπερ ἦλθον* 𝔄 et mox *δ' αὐτός* et *πῶς* pro *ὅπως*. *αὐτὸς*] *αὐτὸν* Δ (ita Δ, non item M, qui *αὐτὸς* ut vulgo). *μέτει*] *μετη* Ω.

3. *εὖγε ὁ κατάρατος ἐπ' ἐμὲ αὐτόν* plerique libri etiam A (ita A), *εὖγε ὁ κατάρατος· ἐμὲ αὐτόν*; fortassis J, *αὐτὸν* pro *αὐτὸν* abc; verba *ἐπ' ἐμὲ αὐτὸν καὶ* om ΩF. *μέχρι τῆς Ἥρας* M solus.

ἀλλ' ἡμεῖς — ἐποιησάμεθα Juno loquitur in M et fortassis in B. *καὶ πέρα τοῦ μετρίου φιλάνθρωποι* BACΔ et v inepte, *καὶ τοῦ μετρίου πέρα φιλάνθρωποι* Ψ, *καὶ τὸ πέρα τοῦ μετρίου φιλάνθρωποι* ΩM, sed *καὶ τὸ πέρα τοῦ μετρίου φιλάνθρωπον* 𝔄F, ut in prima edit. p. 15 ego conjeceram et recte quidem. *συγγνωστοὶ γοῦν* F, *συγγνωστοὶ* (om *οὖν*) AC. *οἷα*] *οἷον* A, *ὁποῖα* 𝔄.

καὶ ἡμῶν αὐτῶν ἐνίοτε. ΗΡΑ. *σοῦ μὲν καὶ πάνυ
οὗτός γε δεσπότης ἐστὶ καὶ ἄγει σε καὶ φέρει τῆς ῥινός,
φασίν, ἕλκων, καὶ ἕπῃ αὐτῷ, ἔνθα ἂν ἡγῆταί σοι, καὶ
ἀλλάττῃ ῥᾳδίως ἐς ὅ τι ἂν κελεύσῃ, καὶ ὅλως κτῆμα
καὶ παιδιὰ τοῦ ἔρωτος σύ γε. καὶ νῦν οἶδα καθ' ὅ τι
τῷ Ἰξίονι συγγνώμην ἀπονέμεις, ἅτε καὶ αὐτὸς μοιχεύ-
σας ποτὲ αὐτοῦ τὴν γυναῖκα, ἥ σοι τὸν Πειρίθουν ἔτε-
κεν.* 4. ΖΕΥΣ. *ἔτι γὰρ σὺ μέμνησαι ἐκείνων, εἴ τι
ἐγὼ ἔπαιξα ἐς γῆν κατελθών; ἀτὰρ οἶσθα, ὅ μοι δοκεῖ
περὶ τοῦ Ἰξίονος; κολάζειν μὲν μηδαμῶς αὐτὸν μηδ'
ἀπωθεῖν τοῦ συμποσίου· σκαιὸν γάρ· ἐπεὶ δ' ἐρᾷ καὶ
ὡς φῂς δακρύει καὶ ἀφόρητα πάσχει,* ΗΡΑ. *τί, ὦ Ζεῦ;
δέδια γάρ, μή τι ὑβριστικὸν καὶ σὺ εἴπῃς.* ΖΕΥΣ.
*οὐδαμῶς· ἀλλ' εἴδωλον ἐκ νεφέλης πλασάμενοι αὐτῇ σοι
ὅμοιον, ἐπειδὰν * λυθῇ τὸ συμπόσιον κἀκεῖνος ἀγρυπνῇ,* 219
*ὡς τὸ εἰκός, ὑπὸ τοῦ ἔρωτος, παρακατακλίνωμεν αὐτῷ
φέροντες· οὕτω γὰρ ἂν παύσαιτο ἀνιώμενος, οἰηθεὶς*

οὔποτε] οὐδέποτε 𝔄ΩMF soli. *ἐπεθύμησε* pr m A (ita A). *ὁ δ'* BACΨΩ, *ὁ δὲ* 𝔄F et v. *βίαιόν τι] τι* om F. *μόνων ἄρχει* Δ, *ἄρχει μόνον* F. *ἡμῶν αὐτῶν] αὐτῶν ἡμῶν* Ω. ΗΡΑ. om F. *οὗτός γε] γε οὗτος* 𝔄, *οὗτος* (om *γε*) ΨΩF. *φέρει] φέρει σε* Ψ. *καὶ ἕπῃ] καὶ σὺ ἕπῃ* ΩMF soli, quod olim minus bene recepi. *ἔνθα ἡγεῖταί σοι* Δ. *ἐς] εἰς* F. *κελεύσῃ] η* in rasura in A, *κελεύησε* Ω, *κελεύῃ σοι* M, *κελεύῃ σε* F. ante *καὶ νῦν* persona Junonis in F. *τῷ Ἰ. οἶδα καθότι συγγ.* BACΨ𝔄 et v, *οἶδα ἐγὼ καθότι τῷ Ἰ. συγγν.* ΩMF. *ἅτε καὶ] οἷα τε καὶ* 𝔄. *ποτὲ αὐτοῦ] αὐτοῦ ποτε* Ψ, *αὐτοῦ* (om *ποτὲ*) Ω. *Πειριθόουν* M, *Πυρίθουν* Ψ. *ἔτεκε* F.

4. *ἐκείνων] κείνων* BAC. *ἔπαιξα] ἔπραξα* 𝔄. *ἐς γῆν] εἰς γῆν* ΩF, *εἰς τὴν γῆν* 𝔄. *ἀτὰρ σὺ οἶσθα* MF, *ἀτὰρ σὺ ᾔσθα* Ω. *ὅ μοι] ὅ τι μοι* 𝔄. *μηδαμῶς] μὴ δὲ ὅλως* F, *οὐδὲ ὅλως* ΩM. *μηδ'] μὴ δὲ* A, *μηδὲ* B𝔄MF. *ἐπεὶ δ'] ἐπεὶ δὲ* BAMF. *τί ὦ* 𝔄ΩMF et v, *ὦ* (om *τί*) BAΔΨ. *τι ὑβριστικὸν] ὑβριστικόν τι* 𝔄. *εἴπῃς] εἴποις* ΨF. *οὐδαμῶς] μηδαμῶς* 𝔄ΩMF. *ἀλλ'] ἀλλὰ* 𝔄. *πλασάμενος* F et cum ras. Ω. *ἀγρυπνῇ* BAC𝔄ΨΩΔMNF, *ἀγρυπνεῖ* edd. ante Hemsterhusium. *παρακατακλ.* BACΨΔ et v, *παρακλίνωμεν* 𝔄, *συγκατακλίνωμεν* ΩMF. *ἂν παύσαιτο* BA𝔄ΩM, *ἀναπαύσαιτο* F, *παύσεται* Ψ, *παύσαιτο* v. *οἰηθεὶς] οἰωθεὶς* A. *ὥρασιν* Jacobitius, *ὥραισιν* libri omnes et scholiasta, qui Lucianum miratur non *ὥρας* scripsisse. *ἤκοιτο* F.

τετυχηκέναι τῆς ἐπιθυμίας. *ΗΡΑ.* ἄπαγε, μὴ ὥρασιν ἵκοιτο τῶν ὑπὲρ αὐτὸν ἐπιθυμῶν. *ΖΕΥΣ.* ὅμως ὑπόμεινον, ὦ Ἥρα. ἢ τί γὰρ ἂν καὶ πάθοις δεινὸν ἀπὸ τοῦ πλάσματος, εἰ νεφέλῃ ὁ Ἰξίων συνέσται; 5. *ΗΡΑ.* ἀλλὰ ἡ νεφέλη ἐγὼ εἶναι δόξει καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ποιεῖσθαι διὰ τὴν ὁμοιότητα. *ΖΕΥΣ.* οὐδὲν τοῦτο φής. οὔτε γὰρ ἡ νεφέλη ποτὲ Ἥρα γένοιτ' ἂν οὔτε σὺ νεφέλη· ὁ δ' Ἰξίων μόνον ἐξαπατηθήσεται. *ΗΡΑ.* ἀλλά, οἷοι πάντες ἄνθρωποι ἀπειρόκαλοί εἰσιν, αὐχήσει κατελθὼν ἴσως καὶ διηγήσεται ἅπασι, λέγων συγγεγενῆσθαι τῇ Ἥρᾳ καὶ σύλλεκτρος εἶναι τῷ Διΐ καί που τάχ'

αὐτὸν] αὐτῶν 𝔄. ἐπιθυμιῶν BAV. *ΖΕΥΣ.* om pr m F. ἢ τί γὰρ ACΔ, ἢ τί γὰρ B, τί γὰρ 𝔄ΨΩMF et v. καὶ πάθοις] καὶ om ΩMF. πλάσματος] πράγματος F. συνέσται;] συνεστάναι AC, ξυνεσται Δ, σύνεστι F, συνεστάναι δόξει Ψ, συνέσται δόξει M, συνέσται sed in ras. Ω.

5. *ΗΡΑ.*] ζεὺς pm F. ἀλλ' ἡ ΩF, ἀλλὰ ἡ BACΨ𝔄Δ et v. δόξω εἶναι F, εἶναι δόξω BAC𝔄ΨΩΔ et v. correxi: εἶναι δόξει. nam δόξει hic lectum fuisse patet e lectionibus συνέσται δόξει et συνεστάναι δόξει. ἥξει 𝔄ΩΔMF ex interpolatione, sed ποιήσει BACΨ et v. pro ποιήσει correxi ποιεῖσθαι. ‚at, inquit, nubes illa ego esse et in me committi turpitudo videbitur.' vitium ποιήσει e vitio δόξω natum multi defendere ausi sunt, in his Goeller ad Thucyd. II, 8 (T. I p. 235). sed Cobetus V. L. p. 227 ita conjecit: εἶναι δόξει καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ περίεισι —. hoc igitur vidit, ποιήσει intelligi non posse. at verbum ipsum mordicus tenendum erat, non temere mutandum. vide Luc. Conviv. § 34 fin. ζεὺς Fa m sec. τοῦτο φής] τοῦτ' ἔφην F. ποτὲ om 𝔄.

ὁ δ'] ὁ δὲ F. μόνον om 𝔄, pro eo μόνος F. ἀλλὰ οἱ πάντες ἄνθρωποι BACΨ, ἀλλ' οἱ ἄνθρωποι (om πάντες) 𝔄, ἀλλὰ οἷοι πάντες οἱ ἄνθρωποι ΩF, ἀλλά, οἷοι πάντες ἄνθρωποι vulgo et recte quidem. syntaxis est rara illa quidem, sed Homerica. vide Jl. λ', 653 sq. κατελθὼν ἴσως καὶ] καὶ κατελθὼν ἴσως F. ἅπασι] πᾶσι 𝔄ΩMF. σύλλεκτρος εἶναι τῷ Διΐ] locutio est ab tragicis sumta. vide vel Eurip. Herc. F. v. 1. τάχ' ἂν ἐρᾶν Poppo, τάχα ἐρᾶν BACΩF et v, τάχα καὶ ἐρᾶν 𝔄M. αὐτοῦ] αὐτῷ A. πιστεύουσιν ΨF. εἴπῃ] εἴποι ΩMF. εἰς τὸν ᾅδην 𝔄, ἐς ᾅδην ΩM, εἰς ᾅδην F. ἄθλιος] ὁ ἄθλιος Ψ. συμπεριενεχθήσεται BACΨΩFJ, συμπεριενεχθήσεται edd. vett: et diserte 𝔄. δίκην διδοὺς οὐ τοῦ ἔρωτος, οὐ γὰρ δίκαιον (sic) τοῦτό γε, ἀλλὰ τῆς μεγαλαυχίας 𝔄, δίκην διδοὺς οὐ τοῦ ἔρωτος, οὐ γὰρ δεῖ

ἂν ἐρᾶν με φήσειεν αὐτοῦ, οἱ δὲ πιστεύσουσιν, οὐκ εἰδότες ὡς νεφέλῃ συνῆν. ΖΕΥΣ. οὐκοῦν, ἤν τι τοιοῦτον εἴπῃ, ἐς τὸν ᾅδην ἐμπεσὼν τροχῷ ἄθλιος προσδεθεὶς συμπεριενεχθήσεται μετ' αὐτοῦ ἀεί, καὶ πόνον ἄπαυστον ἕξει δίκην διδοὺς οὐ τοῦ ἔρωτος (οὐ γὰρ δεινὸν τοῦτό γε), ἀλλὰ τῆς μεγαλαυχίας.

VII.

* ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ. 220

1. *ΗΦΑΙ.* Ἑώρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν, ὡς καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον; *ΑΠ.* ἐκεῖνο βρέφος, ὦ Ἥφαιστε, ἢ μέγα ἀγαθόν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ τῇ πανουργίᾳ; *ΗΦΑΙ.* καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν; *ΑΠ.* ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν

δεινὸν τοῦτό γε, ἀλλὰ τῆς μεγαλαυχίας ΩM, *διδοὺς δίκην* (sic) *οὐ τοῦ ἔρωτος, οὐ γὰρ δεινὸν δὴ* (*δὴ δεινὸν* Δ) *τοῦτό γε, ἀλλὰ τῆς μεγαλαυχίας* ΔF, *διδοὺς δίκην* (sic) *τοῦ ἔρωτος, οὐ γὰρ δεινὸν τοῦτό γε ἀπὸ τῆς μεγαλαυχίας* Ψ, *δίκην διδοὺς τοῦ ἔρωτος. οὐ γὰρ δεινὸν τοῦτό γε ἀντὶ τῆς μεγαλαυχίας* BC, *δίκειν* (sic) *διδοὺς τοῦ ἔρωτος.* nova jam persona: *οὐ γὰρ — μεγαλαυχίας* (haec eodem modo quo in BC) A, *δίκην διδοὺς τοῦ ἔρωτος. ΗΡΑ. οὐ γὰρ δεινὸν τοῦτό γε ἀπὸ τῆς μεγαλαυχίας* edd. ante Schmiederum et (qui *ΗΡΑ* om) J. in prima edit. p. 17 cum Lehmanno et partim Schmiedero ita scripseram: *δίκην διδοὺς οὐ τοῦ ἔρωτος* (*οὐ γὰρ δὴ δεινὸν τοῦτό γε*), *ἀλλὰ τῆς μεγαλαυχίας*, caetera recte, praeterquam quod *δή* male adjecimus, quod delendum fuisse nunc docent codices postea excussi.

VII.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ἈΠΟΛΛΩΝΟΣ F, *Ἥφαιστος καὶ Ἀπόλλων* B, *Ἥφαιστος Ἀπόλλων* hic, sed in subscriptione et in indice: *Ἥφαιστος καὶ Ἀπόλλων* A, *ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΗΦΑΙΣΤΟΥ* v.

1. *προσμειδιᾷ* BAC𝔄ΨΔU, *προσγελᾷ* ΩF et v. *δηλοῖ ἤδη μέγα τι ἀγαθὸν* BAC𝔄Ψ, *δηλοῖ μέγα τι ἀγαθὸν* VΔ, *δηλοῖ τι ἤδη ὡς μέγα ἀγαθὸν* ΩF et v. *ἐκεῖνό γε φῶ βρέφος* ΩF et Δ (Lachmanni) et v, *ἐκεῖνο τὸ βρέφος* BACΨ et Δ (Belini), *ἐκεῖνο βρέφος* 𝔄 (diserte), quod ego solus jam in prima ed. p. 18 jure restitui geminis locis (ut D. Deor. XVI, 2) conlatis et ista *γε φῶ* malis correctoribus accepta retuli. *ἢ*] *ἢ* BAC, inepte. *ὅσον ἐπὶ* BAC𝔄ΨΔΩF, *ὅσον ἐν* v. *τί ἂν* BAC𝔄ΨΔ, *τίνα ἂν* ΩF et v.

ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξείλκυσε λαθὸν ἐκ τοῦ
κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε
τοῦ τόξου καὶ τῶν βελῶν. 2. ΗΦΑΙ. τὸ νεογνὸν
221 ταῦτα, ὃ μόλις * ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις; ΑΠ.
εἴσῃ, ὦ Ἥφαιστε, ἢν σοι προσέλθῃ μόνον. ΗΦΑΙ.
καὶ μὴν προσῆλθεν ἤδη. ΑΠ. τί οὖν; πάντα ἔχεις τὰ
ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν; ΗΦΑΙ. πάντα,
ὦ Ἄπολλον. ΑΠ. ὅμως ἐπίσκεψαι ἀκριβῶς. ΗΦΑΙ.
μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ. ΑΠ. ἀλλ' ὄψει που
ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους. ΗΦΑΙ. οὕτως
ὀξύχειρ ἐστὶ, καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπ-
τικήν; 3. ΑΠ. οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος
ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ δὲ καὶ διακονεῖσθαι ἡμῖν
ἐθέλει. χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπά-
λαισεν εὐθὺς, οὐκ οἶδ' ὅπως ὑφελὼν τὼ πόδε· εἶτα
μεταξὺ ἐπαινούμενος τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν
ἔκλεψε προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ

ἔκλεψαν J. Ἄρη] Ἄρην F solus probante Dindorfio.
ἐξείλκυσεν (omisso λαθὸν) 𝔄. λαθὸν BAΔ et fortasse V, λαθὼν
ΩF et v et qui sic: λαθὼν ἐξείλκυσε Ψ. ἐκ τοῦ BAC𝔄ΨUF et
fortasse V, τοῦ (om ἐκ) Ω et v. κολεοῦ Δ (ita Δ) 𝔄ΨΩF et (?)
B, κουλεοῦ A (ita A) C et v. λέγω] ἐγὼ λέγω 𝔄.

2. ΗΦ. om F. τὸ νεογνὸν ταῦτα] τὸ δὲ νεογνὸν τοῦτο F.
μόλις BAC𝔄VFc, μόγις ΨΩ et v. ἐκινεῖτο ἐν 𝔄ΩF et v, ἕ-
στηκε, τὸ ἐν BACTV et (ubi ἕστηκε) cd, sed Ψ ita: τὸ ἐν τοῖς
σπαργάνοις ὃ μόγις ἕστηκε. vero reposito quid sit μόλις ἑστάναι
olim monstravi et contuli Prometh. s. Cauc. 1, Bis Accus. 15, Longi
Pastoral. IV, 118 Schaef. alia. ΑΠ. om F. εἴσῃ] εἴ σοι F.
ἢν BA𝔄ΨΔ, εἴ ΩF et v. προσέλθῃ] προέλθῃ B, προσέλθοι ΩF.
ἀπόλωλεν] διόλωλεν ΩF. ὦ (ante Ἄπολλον) om Ω. νὴ
Δία BACΨΔ et v, sed μὰ Δία 𝔄ΩF ut olim rescripsi. που ἐν
τοῖς σπαργάνοις αὐτὴν BACΔ𝔄ΨΩF, αὐτήν που ἐν σπαργάνοις v.
τοῖς σπαργάνοις Matthiae conjecerat. ΗΦ. om F. οὕτως]
οὕτω BAC, οὕτω που 𝔄. καθάπερ] καὶ καθάπερ 𝔄.

3. ΑΠ. om F. ἐπίτροχα] ἐπιτροχάδην 𝔄 ex Homero.
δὲ καὶ] καὶ om ΩF. προκαλεσάμενος BAC𝔄ΨΩΔ cum Graevio,
προσκαλεσάμενος F edd. vett. κατεπάλαιεν Ψ, καὶ ἐπάλαισεν
ΩF. ὑφελὼν BAC𝔄ΨΔVUd, ὑφέλκων Ω et v, quod Hemster-
husius praeferebat. at confer Cal. n. t. c. § 10: ὑποσπᾷ καὶ ὑπο-

γελῶντος ἔτι, τὸ σκῆπτρον· εἰ δὲ μὴ * βαρύτερος ὁ 222
κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.
ΗΦΑΙ. γοργόν τινα τὸν παῖδα φής. ΑΠ. οὐ μόνον,
ἀλλ' ἤδη καὶ μουσικόν. ΗΦΑΙ. τῷ τοῦτο τεκμαίρεσθαι
ἔχεις; 4. * ΑΠ. χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ' 223
αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας,
ἔπειτα κολλάβους ἐμπήξας καὶ μαγάδα ὑποθεὶς καὶ
ἐντεινάμενος * ἑπτὰ χορδὰς ἐμελῴδει πάνυ γλαφυρὸν, 224
ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν
πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα, ὡς μηδὲ
μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας
ἄχρι τοῦ ᾅδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή.
ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν
τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

σκελίζει. ἔκλεψεν F. προσπτυξυμένης A, προσπηλεξαμένης Ψ. γελῶντος ἔτι, τὸ σκ. BAC𝔄Ψ, γελῶντος, ἦλθεν ἐπὶ τὸ σκ. ΩFad, γελῶντος, τὸ σκῆπτρον T et v. τὸ πῦρ] τὸ om ΩF. εἶχεν Ψ. ὑφείλετο] ὑφεϊλητο (sic) C. γοργόν τινα] ὑπέρδριμυν οὖν (sic) 𝔄, ὑπέρδριμύν τινα ΩF. utraque vox atticistis displicuit, ὑπέρδριμυς Phrynicho in Ecloga p. 385 Lob., γοργός autem ἐπὶ τοῦ ταχέος ἢ ἀνδρείου (ut hoc ipso loco) positum aliis ap. antiatticistam (in Bekk. Anecd. p. 86, 26), qui istis comicum in Pace (scil. v. 557) bene opposuit. ἀλλὰ καὶ μουσικὸν ἤδη Ψ. ἔχεις;] ἔχειν J.

4. χελώνην — συνεπ.] χελώνης που νεκρὸν ὄργανον εὑρὼν ἀπ' αὐτοῦ που συνεπ. F. καὶ ζυγώσας om BACΨΔ, habent 𝔄ΩF et v. κολλάβους BAC𝔄ΔVUY cum Moschopulo, κολάβους Ψ et scholiasta, καλάβους T, καλάμοις Ω, καλάμους FJ edd. ante Hemsterhusium. μαγάδα BACΔ𝔄ΨY et schol., μαγάδας Moschopulus, μαγάδιον ΩF et v. ἑπτὰ om Δ solus. ἐμελῴδει BACΔΨ, μελῳδεῖ 𝔄ΩF et v. γλαφυρὸν] καὶ ἥδιστον addit Δ. ὡς κἀμὲ] ὥστε καὶ ἐμὲ 𝔄. φθονεῖν πάλαι κιθαρίζειν BACΔ𝔄ΩF, φθονεῖν κιθαρίζειν πάλαι Ψ, φθονεῖν τὸν πάλαι κιθαρίζειν v. ἀσκοῦντα] ἀκούσαντα ΩF. μηδὲ (sive μὴ δὲ) BACΔΨF, οὐδὲ 𝔄Ω et v. ἀλλὰ ὑπὸ 𝔄. περιεργασίας C, περιεργασίας A (pr m; γι supra), περιεργασίας B (γίας supra a recentiori m.) κλέψων] κλέπτων ΩF. δ' ἐστὶ] δέ ἐστι A𝔄, δὲ ἐστὶν ΔC (ita C), ἐστὶ (om δ') Ψ. θαυμασίαν τὴν δύναμιν] θαυμασίαν τινὰ τὴν δύναμιν Ω. ᾗ] Ἥφ. (ς supra)

ΗΦΑΙ. ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι. *ΑΠ.* τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθὸν, τὴν πυράγραν. *ΗΦΑΙ.* εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτὴν, εἴ που ὡς φὴς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

VIII.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

ΗΦΑΙ. Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, * εἰ καὶ λίθον δέοι μιᾷ πληγῇ διακόψαι. *ΖΕΥΣ.* εὖ γε, ὦ Ἥφαιστε· ἀλλὰ δίελέ μου τὴν κεφαλὴν ἐς δύο κατενεγκών. *ΗΦΑΙ.* πειρᾷ μου εἰ μέμηνα; πρόσταττε δ' οὖν τἀληθὲς, ὅπερ ἐθέλεις σοι γενέσθαι. *ΖΕΥΣ.* τοῦτ' αὐτὸ, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν. *ΗΦΑΙ.* ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ

ἡ̃ (sic) F. *ΗΦ.*] ἥφ. sec m., pr m ἀπ' F. *ἐγὼ ἐκείνην*] ἐγὼ δὲ ἐκείνην 𝔄. *ΑΠ.* F. sec m. *τοιγαροῦν*] τί γὰρ οὖν Δ.

VIII.

ΗΦ. ΚΑΙ ΔΙΟΣ] ζεὺς Ἥφαιστος A (ter) et sic B.

1. *χρὴ* BAΔ𝔄Ψ, *δεῖ* ΩF et v. *λίθον* BACΔΨ(V)𝔄 Exc. P., *λίθους* ΩF et v. *διακόψαι* BAC (ita C) ΨV, *διατεμεῖν* ΩFΔ (ita Δ) et v, *συντεμεῖν* 𝔄, sed exc. P: *μιᾷ πλ. διατεμεῖν*] γρ. διακόψαι. |. λίθον |. διαταμεῖν. *ἐς δύο* BACΔΨ, *εἰς δύο* 𝔄ΩF et v. *πειρᾷ μου, εἰ μέμηνα;* BAC𝔄ΨΩF et v, *πειρᾷ μου ἢ μέμηνας;* VU, *πειρᾷ μου ἢ εἰ μέμηνας,* sed ἢ sec m Δ (ita Δ). *τι ἀληθὲς* 𝔄Δ (ita Δ) Ψ, *τ' αληθὲς* Ω, *τἀληθὲς* F et v, *τι ἄλλο* BAC, fortassis recte. *ἐθέλεις* BACΨΩ, *θέλεις* 𝔄F et v. *τοῦτ' αὐτὸ* Δ, *τοῦτο αὐτὸ* BAC𝔄ΨΩF, desunt haec v. *τὸ διαιρεθῆναι* 𝔄, *διερεθῆναι* Δ. *μοι*] *μου* Ψ. *ἀπεισθήσεις* Δ. *πειράσῃ* BACΔ (ita CΔ), *πειράσῃ μου* vulgo et 𝔄ΩF, *πειραθήσῃ* Ψ. *παντὶ* om 𝔄. *ὑπὸ ὠδίνων* BACΨ, *ὑπὸ τῶν ὠδίνων* 𝔄ΩF et v. *μοι* BACΔ𝔄Ψ, *μου* ΩF et v. *ἀντιστρέφουσιν* F. *ἀναιμοτὶ* Jabc, *ἀνεμωτὶ* Y. *εἰλήθυιαν* BA𝔄F, *Εἰλιθυίαν* schol. *κατἔνεγκαι* A (ita A) ΩF. *οἶδ' ἐγώ* Δ, *οἶδα ἐγὼ* BAC𝔄Ψ, *οἶδα γὰρ ἐγὼ*

*ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. ΖΕΥΣ. κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα ἐγὼ τὸ συμφέρον. ΗΦΑΙ. ἄκων μέν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος· μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως οὖν ὀξύθυμος ἦσθα τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ζῳογονῶν, καὶ ταῦτα ἔνοπλον· * ἦπου στρατόπεδον, οὐ* 226
κεφαλὴν ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ καὶ πυρριχίζει καὶ τὴν ἀσπίδα τινάσσει καὶ τὸ δόρυ πάλλει καὶ ἐνθουσιᾷ· καὶ τὸ μέγιστον καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας ἤδη αὐτήν. ΖΕΥΣ. ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν. ἐγὼ δ' οὖν τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω. ΗΦΑΙ. τοῦτ' ἐβουλόμην. ἐμοὶ μελήσει τὰ λοιπά, καὶ ἤδη συναρπάσω αὐτήν. ΖΕΥΣ. εἴ σοι ῥᾴδιον, οὕτω ποίει. πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ΩF et v. *σήμφερον* (sic) idque m sec Δ. *ἄκων μὲν* om ΩF soli. *κατοίσω δὲ*] *δὲ* om 𝔄ΩF. *τί γὰρ χρὴ ποιεῖν*] *τί γὰρ οὐ χρὴ ποιεῖν* Y, *τί γὰρ ποιεῖν* B marg. (scil. pro var. lect., non pro scholio, ut Jacobitius IV p. 57). ego vero audacter suppleo: *τί γὰρ ἄλλο χρὴ ποιεῖν* —; eoque refero superius illud *τι ἄλλο* (pro *τι ἀληθές*). *ἄλλο* enim margini primo adscriptum huc pertinebat. haec si qui minus probarit, is supra legat: *τι ἄλλο*, hic autem cum Hemsterhusio juvene: *τί γὰρ οὐ χρὴ ποιεῖν* —; vide mea ad Charonem § 17 med. nova persona ante *τί τοῦτο* in A. *κόρη — κακὸν*] *κόρη ὦ Ζεῦ ἔνοπλος. μέγα κακὸν* 𝔄. *εἰκότως οὖν*] ita conjeci. libri *εἰκότως γοῦν*. *τῇ μήνιγγι* cum scholiasta BACΔ𝔄Ψ, *τὴν μήνιγγα* ΩF et v. *ἡ δὲ*] *ἤδη* c. ras. in alt *η* Ω. *ἡ δὲ πηδᾷ* om F, *πηδᾷ* om etiam Ω. *καὶ πυρρ.*] *ἤδη καὶ πυρρ.* F. *ἀσπίδα*] *αἰγίδα* 𝔄. *καὶ τὸ δόρυ πάλλει* om 𝔄ΩF. *ἤδη ἐν*] *δὴ ἐν* ΩF. *ἐγγυήσας ἤδη αὐτὴν* BACΔΨ et schol. *ἐγγυήσας αὐτὴν* 𝔄, *ἐγγυήσας μοι αὐτὴν* Ω et v, *ἐγγυήσας* ^{μοι} *αὐτὴν* F. *αἰτεῖς*] *αἰτῇ* F. *ἐθελήσει* BAΔ𝔄Ψ, *ἐθέλει* C (Lachmanni), *θέλει* ΩF et v. *μένειν*] *μεῖναι* Ψ, post *μένειν* persona *ζς'* F. *ἐγὼ γοῦν* v, *ἔγωγ' οὖν* 𝔄ΩF, sed *ἐγὼ δ' οὖν* BACΔΨ, ut in prima ed. p. 23 conjeceram. *τό γε*] *τοῦτό γε* F. *τοῦτ'*] *τοῦτο* Ψ. *οἶδα ὅτι* om ΩF.

IX.

227 ## * ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. *ΠΟΣ.* Ἔστιν, ὦ Ἑρμῆ, νῦν ἐντυχεῖν τῷ Διί;
ΕΡΜ. οὐδαμῶς, ὦ Πόσειδον. *ΠΟΣ.* Ὅμως προσ-
άγγειλον αὐτῷ. *ΕΡΜ.* μὴ ἐνόχλει, φημί· ἄκαιρον γάρ
ἐστιν, ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι. *ΠΟΣ.*
μῶν τῇ Ἥρᾳ σύνεστιν; *ΕΡΜ.* οὔκ· ἀλλ' ἑτεροῖόν τί
ἐστι. *ΠΟΣ.* συνίημι· ὁ Γανυμήδης ἔνδον. *ΕΡΜ.*
οὐδὲ τοῦτο· ἀλλὰ μαλακῶς ἔχει αὐτός. *ΠΟΣ.* πόθεν,
ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φῄς. *ΕΡΜ.* αἰσχύνομαι
εἰπεῖν, τοιοῦτόν ἐστιν. *ΠΟΣ.* ἀλλ' οὐ χρὴ πρὸς ἐμὲ
θεῖόν γε ὄντα. *ΕΡΜ.* τέτοκεν ἀρτίως, ὦ Πόσειδον.
228 *ΠΟΣ.* ἄπαγε, * τέτοκεν ἐκεῖνος; [ἐκ τίνος;] οὐκοῦν
ἐλελήθει ἡμᾶς ἀνδρόγυνος ὤν; ἀλλ' οὐδὲ ἐπεσήμαινεν
ἡ γαστὴρ αὐτῷ ὄγκον τινά. *ΕΡΜ.* εὖ λέγεις· οὐ γὰρ
ἐκείνη εἶχε τὸ ἔμβρυον. *ΠΟΣ.* οἶδα· ἐκ τῆς κεφαλῆς
ἔτεκεν αὖθις, ὥσπερ τὴν Ἀθηνᾶν· τοκάδα γὰρ τὴν
κεφαλὴν ἔχει. *ΕΡΜ.* οὔκ· ἀλλ' ἐν τῷ μηρῷ ἐκύει τὸ ἐκ
τῆς Σεμέλης βρέφος. *ΠΟΣ.* εὖ γε ὁ γενναῖος, ὡς ὅλος

IX.

ἑρμ. *ποσδ.*
1. *ὀυδαμῶς προσάγγειλον* (personae sec. m) F. *ὦ Πόσειδον* et *ὅμως* om 𝔄ΩF. *γάρ ἐστιν* BACΨΔ(V), *γὰρ* (om *ἐστιν*) 𝔄ΩF et v. *ἴδῃς* Ψ. *γαννυμήδης* 𝔄. *ἔνδον*; A. *μαλακῶς*] *μαλακὸς* BΔ sed *μαλακῶς* marg. Δ. *τοιοῦτον ἐστιν* BA𝔄ΨΩ, *τοιοῦτό ἐστιν* F, *τοιοῦτόν ἐστι* v. *ἀλλὰ οὐ* BACΨΩ. *οὐ χρὴ*] *οὐ* 𝔄, *οὐχὶ* ΩF. *ὦ Πόσειδον ἀρτίως* 𝔄. *τέτοκε ἐκεῖνος ἄπαγε* Δ.
ἐκ τίνος; om BAΔ𝔄Ψ, habent ΩF et v. verba mihi suspecta Bekker delevit. *ἀλλὰ οὐδὲ* BACΨ. *ἐπεσήμηνεν* AΨΔTYd, *ἐπισήμηνεν* (η) c, *ἐπεσήμαινεν* J, *ἐπεσήμανεν* BACΩ, *ἐπεσήμαινεν* F et v. vulgatam jam in ed. priore servavi: imperfecto enim opus est, ut de eadem re *εἶχε* subsequitur. *ἡ γαστὴρ αὐτῷ* BACΔΨ, *αὐτῷ ἡ γαστὴρ* 𝔄ΩF et v. *τοκάδα — ἔχει*] Hemsterhusius, qui *τοκάς* etiam e Lycophrone et Theocrito adfert, poeticam vocem usurpari censet ‚ridicule', id quod non sufficit. quum enim *τοκάδα τὴν κεφαλὴν ἔχει* senarii alterum sit hemistichium: non dubito, quin comicus graecus prior Luciano his ipsis verbis Jovem riserit. fieri autem potest, ut haec ex Hermippi comoedia: *Ἀθηνᾶς Γοναί* sumta sint.

ἡμῖν κυοφορεῖ καὶ πανταχόθι τοῦ σώματος. ἀλλὰ τίς ἡ Σεμέλη ἐστίν; 2. ΕΡΜ. Θηβαία, τῶν Κάδμου θυγατέρων μία. ταύτῃ συνελθὼν ἐγκύμονα ἐποίησεν. ΠΟΣ. εἶτα ἔτεκεν, ὦ Ἑρμῆ, ἀντ' ἐκείνης; ΕΡΜ. καὶ μάλα, εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ. τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα, οἶσθα δὲ ὡς ζηλότυπός ἐστι, πείθει αἰτῆσαι παρὰ τοῦ Διὸς, μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ' αὐτήν· ὡς δ' ἐπείσθη καὶ ἧκεν, ἔχων καὶ τὸν κεραυνὸν, ἀνεφλέγη ὁ ὄροφος. καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρὸς, ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικὸς ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἑπτάμηνον. καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρὸν ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτὸ καὶ μαλακῶς ἀπὸ

---

adde, quod de comicorum ‚Γοναῖς‘ fabulis earumque argumento recte judicavit Meinekius in Hist. Com. p. 281, non item Lobeckius in Aglaoph. p. 437. has igitur comoedias Lucianus certo legerat et in his ipsis deorum dialogis plus semel secutus erat. ceterum τοκάδα ex Eubulo (comico) adfert Photius p. 593, 15: Τοκάδα: Εὔβουλος, de quo l. vide Dobreum in Adversar. I p. 610. sed haudquaquam liquet, Eubulum ibi de Jove locutum fuisse. immo Eubulus non minus fere quam ipse ante eum Aristophanes parodiae lusu Euripidem maxime solitus erat deridere. atqui in Euripide vox τοκάς haud raro legitur. ἀλλ' ἐν 𝔄ΩΔ et v, ἀλλὰ ἐν BAΨF. ἐκύει] κύει 𝔄, κατεῖχε Ω, κατέχει F. ἐκ om F. πανταχόθεν Ψ. Σεμέλη ἐστί; BA𝔄ΨΩFJ, Σεμέλη ἐστὶν v.

2. παράδοξον] παράδοξα F. οἶσθα δὲ BACΔΨ et v, οἶσθα γὰρ 𝔄, οἶσθα ΩF. παρὰ τοῦ] περὶ τοῦ Ψ. δὲ ἐπείσθη BAΔ𝔄ΨΩF. ἧκεν ἔχων καὶ BCΔ et (qui interpungit ἧκεν, ἔχων καὶ) A et v, ἧκεν ἔχων (om καὶ) 𝔄ΨΩF cum Poppone. at vide meas Quaestt. L. p. 9. ἀνεφλέχθη B sed marg γράφεται καὶ ἀνεφλέγη, ita fere etiam A, qui: ἀνεφλέχθη et in marg pr m γρ ἀνεφλέγη, sed C ἀνεφλέχθη et sec. m. ἀνεφλέγη, denique 𝔄: ἀνεφλέγη τε (addito τε). διαφθείρεται) διεφθάρη 𝔄ΩF. τὴν γ. τῆς] τῆς γαστέρα τῆς 𝔄. ἀτελὲς ἔτι] ἔτι ἀτελὲς Ψ. αὐτῷ] αὐτὸ Ω. ἑπτάμηνον ΩF, ἑπταμηνιαῖον ὄν 𝔄 (hoc est: ἑπτάμηνον ον νιαῖον), ἑπταμηνιαῖον BAΨ et v. at noster attice locutus est. ἑαυτοῦ] ἑαυτὸν 𝔄, αὐτοῦ Ω, αὐτοῦ F. αὐτὸ] αὐτῷ Δ, αὐτὸν ΩF. ἀπό libri omnes, sed ὑπὸ cum Lehmanno, qui D. Mar. X, 1 contulit, Bekker, fortassis recte. νῦν οὖν — νῦσαν] τὸ δὲ βρέ-

τῶν ὠδίνων ἔχει. ΠΟΣ. νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν;
229 ΕΡΜ. ἐς τὴν Νῦσαν ἀποκομίσας * παρέδωκα ταῖς Νύμφαις ἀνατρέφειν, Διόνυσον ἐπονομασθέντα. ΠΟΣ. οὐκοῦν ἀμφότερα, τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὁ ἀδελφός ἐστιν; ΕΡΜ. ἔοικεν. ἄπειμι δ' οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων καὶ τἄλλα ποιήσων, ἃ νομίζεται, ὥσπερ λεχοῖ.

X.

ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

1. ΕΡΜ. Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον, ὁ Ζεύς φησι, μηδὲ αὔριον μηδ' ἐς τρίτην ἡμέραν, ἀλλ' ἔνδον μένε, καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ μακρά. ὥστε

φος εἰς τὴν (ἐς τὴν ΩF) νυσ. 𝔄ΩF. νῦσαν Ω, νύσαν BA, νῦσσαν 𝔄Ψ, νύσσαν F et v. ἀποκομίσας παρέδωκα v, ἀποκομίσας παρέδωκε 𝔄ΩF, ἀποκομίσας γὰρ (γὰρ, A) ἔδωκα BACΔ (ita Δ) Ψ (V). Dindorfius et Jacobitius, qui nuper (quasi e codd.) ἀποκομίσας ἔδωκα ediderunt, fallente oculorum acie ad malam conjecturam inviti aberrarunt. Διόνυσον BACΔΨ𝔄 et v, Διόνυσον αὐτὸν ΩF. ἐπονομασθέντα] in textu pr m ἐπωνόμασα sed sec m priore accentu partim eraso ἐπωνομάσας, in marg. supra pr m γρ' ἐπωνομασθέντα F (ita F). ‚falsum est quod refert Jacobitius'. καὶ πατὴρ καὶ μήτηρ ΔF. ὁ ἀδελφός ἐστιν; BAΨ, ὁδὲ ἀδελφός ἐστι C, ὁ αὐτός ἐστιν Δ, ὅ δέ ἔστιν et mrg γρ ὁ ἀδελφὸς J, ὅδε ἐστιν 𝔄ΩF, ὁδέ ἐστιν v, denique ex V enotatur post πατήρ: ὁ ἀδελφὸς, ἢ αὐτός.

post ἔοικεν nova persona in A. αὐτῷ] τούτῳ 𝔄. τἄλλα] τὰ ἄλλα BAΨΩF, non 𝔄. ἃ νομίζεται 𝔄ΩF, ἃ ἂν νομίζεται BAΨ (νομίζεται etiam C), ἃ ἂν νομίζηται TVRY, ὅσ' ἂν νομίζηται v. in prima ed. p. 25 ὅσα νομίζεται conjeci et Luciani locis firmavi permultis. hac syntaxi probata Dindorfius ἃ νομίζεται praetulit, quod nunc libri magis quam alterum commendant.

X.

1. ὁ ante Ζεὺς om Ψ. τήμερον — φησι] ὁ Ζεύς φησι τήμερον 𝔄. ὁ — αὔριον om ΩFL (ita L). μηδ' ἐς v, μηδὲ (vel μὴ δὲ) ἐς BAΨΔL, μηδὲ εἰς 𝔄ΩF. ἀλλὰ ἔνδον BAΨΩ. μία τις ἔστω νὺξ] τις ἔστω μία νὺξ 𝔄. νὺξ μακρά] infra § 2 fin: μακρὰν οὕτω τὴν νύκτα γεγενημένην. in eodem argumento versata erat Platonis comici fabula nomine hoc ipso ‚Νὺξ Μακρά' et Archippi Ἀμφιτρύων, ut de Plauti taceam ‚Amphitruone'. αἱ

λυέτωσαν μὲν αἱ Ὧραι αὖθις τοὺς ἵππους, σὺ δὲ σβέσον
τὸ πῦρ καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν. ΗΛ. καινὰ
ταῦτα, ὦ Ἑρμῆ, καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. ἀλλὰ
μὴ παραβαίνειν τι ἔδοξα ἐν τῷ δρόμῳ καὶ ἔξω ἐλάσαι
τῶν ὅρων, κᾆτά μοι ἄχθεται καὶ τὴν νύκτα τριπλασίαν
τῆς ἡμέρας ποιῆσαι διέγνωκεν; ΕΡΜ. οὐδὲν τοιοῦτον,
οὐδ' ἐς ἀεὶ τοῦτο ἔσται· δεῖται δέ τι νῦν αὐτὸς ἐπιμη-
κεστέραν γενέσθαι οἱ τὴν νύκτα. * ΗΛ. ποῦ δὲ καὶ 230
ἔστιν ἢ πόθεν ἐξεπέμφθης ἀγγελῶν ταῦτά μοι; ΕΡΜ.
ἐκ Βοιωτίας, ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύωνος γυναικός,
ᾗ σύνεστιν ἐρῶν αὐτῆς. ΗΛ. εἶτα οὐχ ἱκανὴ νὺξ μία;
ΕΡΜ. οὐδαμῶς· τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας
ταύτης μέγαν καὶ πολύαθλον θεόν· τοῦτον οὖν ἐν μιᾷ
νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον. 2. ΗΛ. ἀλλὰ τελεσι-
ουργείτω μὲν ἀγαθῇ τύχῃ, ταῦτα δ' οὖν, ὦ Ἑρμῆ, οὐκ
ἐγίγνετο ἐπὶ τοῦ Κρόνου, (αὐτοὶ γὰρ ἡμεῖς ἐσμεν) οὐδ'
ἀπόκοιτός ποτε ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν οὐδ' ἀπολι-

Ὧραι αὖθις] αὖθις αἱ Ὧραι 𝔄. διαμακροῦ A. σαυτὸν ΩFL (non item 𝔄). ΗΛ. ἀπ'. F. toto hoc dialogo. καινὰ] κενὰ 𝔄.
παραγγέλλων BAC𝔄ΨΩΔL cum Hemsterhusio, παραγγέλων Fa, παραγγελῶν J et v. ἀλλὰ μὴ] μὴ om L. διέγνωκεν] διεγνώκει 𝔄. ΕΡΜ.] ἥφστ F. οὐδ' ἐς ἀεὶ v, οὐδὲ ἐς ἀεὶ BCL, οὐδὲ ἐσαεὶ AΨΩF, οὐδ' ἀεὶ 𝔄. τοῦτο] τοιοῦτο F. δεῖται — αὐτὸς] δεῖται δὲ νῦν ἔτι αὐτὸς ΩF, δεῖται δὲ ἔς τι αὐτὸς L. ἐπιμηκεστερος (sic) C, om L. γενέσθαι οἱ τὴν νύκτα] τὴν νύκτα γενέσθαι ΩFL. ποῦ] οὗ BACΔV. δὲ καὶ] καὶ om ΩFL.
ἐστὶν] ἔστιν αὐτὸς Ψ. ἀγγελῶν ταῦτά (B) et v, ἀγγέλλων ταῦτα ACΔ𝔄, ἀγγέλων ταῦτα v, ταῦτα διαγγέλλων (διαγγέλων F) ΩFL.
μοι om Ψ. παρὰ] περὶ Ψ. γυναικὸς om ΨΩΔFL, non item caeteri. σύνεστιν ἐρῶν αὐτῆς. ΗΛ. (ἀπ. F) BACΔ𝔄ΨΩVFL cum Jensio, σύνεστιν. ΗΛ. ἐρῶν αὐτῆς; v. δεῖ ἐκ] δοκεῖ ἐκ A.
πολύαθλον θεὸν] πολύμοχθον (om θεὸν) ΩFL.

2. δ' οὖν] δὲ Ω, μὲν L. ἐγίγνετο Dindorfius, ἐγίνετο libri, etiam 𝔄, qui: οὐκ ἐπὶ τοῦ Κρόνου ἐγίνετο. αὐτοὶ BACΔΨ et v, μόνοι 𝔄ΩUFLd et in γρ. scholiasta. ἡμεῖς ἰσμὲν Y. ἡμεῖς sine causa delent Cobetus V. L. p. 111 et Dindorfius. οὐδ' ἀπόκ. v, οὐδὲ ἀπόκ. BAC𝔄ΨΩFL. ποτε ἐκεῖνος παρὰ BΩFL, ποτε ἐκεῖνος περὶ Ψ, ποτε παρὰ τῆς Ῥέας ἐκεῖνος 𝔄, ἐκεῖνος παρὰ (om ποτε) AC et v. παρὰ] περὶ Ψbc aliaeque edd. ante Hemster-

πῶν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλὰ ἡμέρα μὲν ἦν ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς ἀνάλογον ταῖς ὥραις, ξένον δὲ ἢ παρηλλαγμένον οὐδὲν, οὐδ' ἂν ἐκοινώνησεν ἐκεῖνος θνητῇ γυναικί. νῦν δὲ δυστήνου γυναίου ἕνεκα χρὴ ἀνεστράφθαι τὰ πάντα καὶ ἀκαμπεστέρους μὲν γενέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν, ἀτριβῆ μένουσαν τριῶν ἑξῆς ἡμερῶν, τοὺς δ' ἀνθρώπους ἀθλίους ἐν σκοτεινῷ διαβιοῦν. τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρώτων καὶ καθεδοῦνται περιμένοντες, ἔστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητὴν,
231 *ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ.* ΕΡΜ. * *σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν καὶ τὸν Ὕπνον ἀπαγγελῶ κἀκείνοις, ἅπερ ὁ Ζεὺς ἐπέστειλε, τὴν μὲν σχολῇ προβαίνειν, τὸν δὲ Ὕπνον μὴ ἀνιέναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.*

---

husium. *οὐδ' ἀπολ.* 𝔄 et v, *οὐδὲ ἀπολ.* BACΨΩFL. *ἀλλ' ἡμέρα* FL. *ἡμέρα μὲν ἦν ἡμέρα* 𝔄, *ἡμέρα ἦν ἡ ἡμέρα* (om *μὲν*) Ω, *ἡμέρα μὲν ἦν ἡ ἡμέρα* F et v, *ἡμέρα μὲν ἡμέρα* BACΨ. at *ἦν* abesse nequit. *μέτρον τὸ*] *τὸ μέτρον τὸ* L. *ἀνάλογον*] *ἀνάλογος* 𝔄, *ἀναλόγως* ΩFL. *παρηλλαμένον* Δ, *παρηλαγμένον* J. *ἐκοινώνησε*] *ἐκοινώνει* L. *ἐκοινώνησεν ἐκεῖνος θνητῇ*] ita ego scripsi, *ἐκοινώνησε θνητῇ* ΩFL, *ἐκοινώνησεν ὅλως θνητῇ* 𝔄, *ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ* (B)ACΨΔ et v. at vero ab AC post *ἀπόκ.* abest *ποτε* ante *ἐκεῖνος*. ergo *ποτε ἐκεῖνος* margini adscriptum non huc spectabat sed ad superiora. ideo h. l. *ποτε* delevi. *γυναίου* om a. *ἀνεστράφθαι*] *ἀντεστράφθαι* Dindorfius cum Cobeto V. L. p. 146. frustra. *μένουσαν* BACΔ𝔄ΨΩFVTURYcd, *μὲν οὖσαν* Jab. *τριῶν ἑξῆς* BAC𝔄ΨΩFL, *ἑξῆς τριῶν* v. *δ' ἀνθρώπους* 𝔄 et v, *δὲ ἀνθρώπους* BACΨΩ, *δὲ αὐτοὺς* L. *ἀθλίους* 𝔄F, *ἀθλίως* caeteri et v. vitio frequenti. *ἐν σκ.*] *ἐν σκότῳ* 𝔄. *διαβιοῦν.*] *διαβιοῦντας* 𝔄. *τοιαῦτα* 𝔄ΩF et v, *τοιούτων* BACΨΔVTU. *ἀπολαύσετε* Ψ. *καθεδοῦνται*] *καθευδοῦνται* ΩL. *ἀποτελέσοι* Ω. *ἀπαγγελῶ*] *κελεύσω* ΩFL. *κἀκείνοις — τὸν δὲ Ὕπνον* om ΩFL. *ἅπερ*] *ὅπερ* 𝔄. *ἐπέστειλε*[ἐ] VUYcd, *ἐπέστειλεν* Ψ, *ἐνετείλατο* 𝔄, *ἀπέστειλε* CJab; *ἀπέστειλε* (*ἐ* pr m) A et (ubi *ἐ* sec m) B. *ἀνιέναι*] *ἀνεῖναι* ΩFL et in *γρ.* scholiasta. *τὴν νύκτα μακρὰν οὕτω* (hoc ordine) L.

XI.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

1. *ΑΦΡ.* *Τί ταῦτα, ὦ Σελήνη, φασὶ ποιεῖν σε; ὁπόταν κατὰ τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος ἀφορῶσαν ἐς τὸν Ἐνδυμίωνα καθεύδοντα ὑπαίθριον ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν παρ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ; ΣΕΛ. ἐρῶτα, ὦ Ἀφροδίτη, τὸν σὸν υἱόν, ὅς μοι τούτων αἴτιος. ΑΦΡ. ἔα· ἐκεῖνος ὑβριστής ἐστιν· ἐμὲ γοῦν αὐτὴν τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἴδην κατάγων Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δ' ἐς τὸν Λίβανον ἐπὶ τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Φερσεφάττῃ ἐπέραστον ποιήσας * ἐξ* 232
ἡμισείας ἀφείλετό με τὸν ἐρώμενον· ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ [καὶ] τὰ πτερά· ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγὰς τῷ σανδάλῳ· ὁ δὲ οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιὼς καὶ ἱκετεύων, μετ' ὀλίγον ἐπιλέλησται ἁπάντων. 2. *ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων ἐστίν; εὐπαραμύθητον γὰρ οὕτω τὸ δεινόν. ΣΕΛ. ἐμοὶ μὲν καὶ πάνυ*

XI.

ἀφροδίτη καὶ σελήνη A (quater) et Ba.

1. *ὁπόταν* BA𝔄ΔΩ, *ὁπότε Ψ, ὁπότ' ἂν* v. *Καρίαν*] *κάθραν* Ψ. *ἱστᾶναι* BA. *ἐς τὸν*] *εἰς τὸν Ω.* *παρ' αὐτὸν* BACΔ𝔄ΨΩ, *ἐπ' αὐτὸν* v (scil. e verbis: *ἐπὶ τὸ Ἀσσύριον* —). in gemino loco est *πρός* De Sacrific. § 7 fin. *ἔα*] *ἀεὶ* 𝔄. *αὐτὴν τὴν* BACΔΨΩ, *τὴν* (om *αὐτὴν*) 𝔄, *αὐτοῦ τὴν* v. *ἐς τὴν*] *εἰς τὴν Ω.* *Ἰλιέως*] *ἰλέως Ψ.* *δ' ἐς*] *δὲ ἐς* BAC𝔄ΨΩ. *φερσεφάττῃ* BAΨΩ, *περσεφάσσῃ* 𝔄, *Περσεφάττῃ* v. *με*] *μου Ω.* *παύσεται*] *παύσηται* 𝔄, quasi adludens ad *ἢν μὴ παύσηται*, ut est in gemino loco Verr. Hist. II, 17 fin. *κλάσειν*] *κατακλάσειν* Cobetus V. L. p. 228, frustra. *φαρέτραν* codices (A diserte) et edd. vett., *φάρετραν* vitium Hemsterhusianae. *δὲ καὶ τὰ* BAC𝔄Ψ et v, *δὲ τὰ* (om *καὶ*) *Ω*, ut olim volueram, conjectura haud necessaria. *ἐς τὰς* BAC𝔄Ω, *εἰς τὰς ΨΔ* et v. *οἶδ' α̤ ὅπως* A, quae ipsa est vulgata. *τὸ παραυτίκα* B, *τοπαραυτίκα* v.

2. *ἀπαραμύθητον* ΨΩa. *οὕτω*] *οὕτως* BAΨ. *ὑποβαλόμενος* ΔA, *ὑποβαλλόμενος* BACΨΩVTUY, *ἐπιβαλλόμενος* edd. ante

καλὸς, ὦ Ἀφροδίτη, δοκεῖ, καὶ μάλιστα ὅταν ὑποβαλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ, τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια ἤδη ἐκ τῆς χειρὸς ὑποῤῥέοντα, ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπῃ τῷ προσώπῳ περικειμένη, ὁ δὲ ὑπὸ τοῦ ὕπνου λελυμένος ἀναπνέῃ τὸ ἀμβρόσιον ἐκεῖνο ἆσθμα. τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη· οἶσθα· τί οὖν ἄν σοι λέγοιμι τὰ μετὰ ταῦτα; πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

XII.

233 * ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

1. *ΑΦΡ.* Ὦ τέκνον Ἔρως, ὅρα οἷα ποιεῖς. οὐ τὰ ἐν τῇ γῇ λέγω, ὁπόσα τοὺς ἀνθρώπους ἀναπείθεις καθ' αὑτῶν ἢ κατ' ἀλλήλων ἐργάζεσθαι, ἀλλὰ καὶ τὰ ἐν τῷ οὐρανῷ· ὃς τὸν μὲν Δία πολύμορφον ἐπιδεικνύεις ἀλλάττων ἐς ὅ τι ἂν σοι ἐπὶ τοῦ καιροῦ δοκῇ, τὴν Σελήνην δὲ καθαιρεῖς ἐκ τοῦ οὐρανοῦ, τὸν Ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις ἐπιλελησμένον

Hemsterhusium. ἐπὶ τῆς πέτρας] haec om Δ. καθεύδῃ] καθεύδει Ψ. ἔχων] οὐκ ἔχων 𝔄. ἐκ τῆς] τῆς 𝔄. περὶ τὴν] ἐπὶ τὴν 𝔄Ψ. ἐπικεκλωσμένη Ψ. ἐπιπρέπῃ Δ (ita Δ) cum Dindorfio, ἐπιτρέπει A, ἐπιπρέπει (B)𝔄ΨΩ et v. περικειμένη BAΨΩ et v, ἐπικειμένη 𝔄ΔU(V). ἀναπνέῃ Dindorfius, ἀναπνέει BAΨΩ et v, ἀναπνεῖ 𝔄. et ἀναπνεῖ certatim scripserunt Struvius L. L. p. 234, Poppo, alii atticismi causa. at praestat, qui adhuc ab superiore ὅταν pendeat subjunctivus, a quo vix licet tam subito ad indicativos transilire. ἐγὼ om 𝔄. ὡς ἂν] ὡς A. ἀνεγρ.] ἀνεγειρόμενος Ψ. τί οὖν ἂν BAC, τίνα 𝔄, τί ἂν οὖν ΨΩ et v. ταμεταταῦτα A.

XII.

Ἀφροδίτη καὶ ἔρως BAa.

1. ὅρα οἷα] ὁρᾷς ἃ 𝔄. τῇ γῇ] γῇ 𝔄. καθ' αὑτῶν] καθ' ἑαυτῶν Δ, κατ' αὐτὴν 𝔄. ἀλλὰ καὶ τὰ] καὶ om 𝔄. τὸν μὲν Δία] τὸν Δία μὲν 𝔄. καθαιρεῖς] κατασπᾷς 𝔄. μητέρα τοσούτων] τοσούτων μητέρα Δ solus, quod olim recepi. moverat me puto similis l. De Sacrificiis § 7 (item de Rhea): γραῦς μὲν ἤδη καὶ

τῆς ἱππασίας· ἃ μὲν γὰρ ἐς ἐμὲ τὴν μητέρα ὑβρίζεις,
θαρρῶν ποιεῖς. ἀλλὰ σὺ, ὦ τολμηρότατε, καὶ τὴν Ῥέαν
αὐτὴν, γραῦν ἤδη καὶ μητέρα τοσούτων θεῶν οὖσαν
ἀνέπεισας παιδεραστεῖν καὶ τὸ Φρύγιον μειράκιον πο-
θεῖν. καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ καὶ ζευξαμένη
τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἅτε
μανικοὺς καὶ αὐτοὺς ὄντας ἄνω καὶ κάτω τὴν Ἴδην
περιπολοῦσιν, ἡ μὲν ὀλολύζουσα ἐπὶ τῷ Ἄττῃ, οἱ Κορύ-
βαντες δὲ, ὁ μὲν αὐτῶν τέμνεται ξίφει τὸν πῆχυν, ὁ
δὲ ἀνεὶς τὴν κόμην ἵεται μεμηνὼς διὰ τῶν ὀρῶν, ὁ δὲ
αὐλεῖ τῷ κέρατι, * ὁ δὲ ἐπιβομβεῖ τῷ τυμπάνῳ ἢ ἐπι- 234
κτυπεῖ τῷ κυμβάλῳ, καὶ ὅλως θόρυβος καὶ μανία τὰ ἐν
τῇ Ἴδῃ ἅπαντά ἐστι. δέδια τοίνυν δέδια [περὶ] τῷ
τοιούτῳ ἡ τὸ μέγα σὲ κακὸν ἐγὼ τεκοῦσα, μὴ ἀπομα-
νεῖσά ποτε ἡ Ῥέα ἢ καὶ μᾶλλον ἔτι ἐν αὐτῇ οὖσα

ἔξωρος οὖσα καὶ τοσούτων μήτηρ θεῶν. θεῶν οὖσαν] οὖσαν additum ex BAC𝔄ΨΩ. om v. μειράκιον BACΔ, μειράκιον ἐκεῖνο vulgo, ἐκεῖνο μειράκιον 𝔄ΨΩ, vitio nato ut videtur e D. D. XI, 1: τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον. παραλαβοῦσα καὶ] καὶ παραλαβοῦσα 𝔄. περιπωλοῦσιν Ψ, περιπολεῖ 𝔄. ἡ μὲν om 𝔄. ὀλολύξασα Ψ. Ἄττῃ] ἄττῃ BA, Ἄττει Δ. ἀνεὶς] ἀνεμώσας 𝔄. ἵεται edd. vett. et codices plerique, etiam A (ita A), ἴεται J. ἅπαντά ἐστι om 𝔄. δέδια τοίνυν ἅπαντα, δέδια τὸ τοιοῦτο vulgo et sic BCΩ et qui ἅπαντα δέδια, interpungit A et qui habet τὸ τοιοῦτον Δ et qui scribit τῷ τοιούτῳ Ψ, sed 𝔄 quatuor verba ἅπαντα, δέδια τὸ τοιοῦτο plane omittit. et ἅπαντα quidem ego in Quaestt. L. p. 101 recte delevi probante Bekkero. at etiam τὸ τοιοῦτο mendosum esse Hemsterhusius, Dindorfius et Jacobitius bene viderunt, quorum commenta omitto. nunc enim Veneti scriptura τῷ τοιούτῳ docet aut ἐπὶ aut περί excidisse. ergo supplevi: δέδια τοίνυν, δέδια περὶ τῷ τοιούτῳ i. e. ‚hac igitur de re magno in metu sum'. vide D. Mar. XIV, 4: φοβηθεῖσα ἐπὶ τῇ παιδί, ubi plura conlegi. tamen vere attica structura est, ut bene Phrynichus Bekkeri p. 37, 5, δέδοικα περὶ τῷδε, neque id solum de personis, verum etiam de rebus, velut in Thucydide I, 60 et I, 74. denique τὸ τοιοῦτο noster ad ea solet referre, quae modo dicta sunt, uti mox D. D. XIV, 1 init., D. D. XVI, 1 fin. σὲ κακὸν ἐγὼ τεκοῦσα BACΨ, σε κακὸν τεκοῦσα ἐγὼ Ω, κακὸν ἐγώ σε τεκοῦσα 𝔄, σὲ κακὸν τεκοῦσα v. ἢ καὶ μᾶλλον] ἢ om 𝔄. ἔτι ἐν αὐτῇ οὖσα B diserte et (ΨΩ), ἔτι ἐν αὐτῇ οὖσα A et v, ἐν αὐτῇ ἔτι οὖσα 𝔄. G. Hermannus, quem vide ad Viger.

κελεύσῃ τοὺς Κορύβαντας συλλαβόντας σε διασπάσασθαι ἢ τοῖς λέουσι παραβαλεῖν· ταῦτα δέδια κινδυνεύοντά σε ὁρῶσα. 2. ΕΡΩΣ. θάρρει μῆτερ, ἐπεὶ καὶ τοῖς λέουσιν αὐτοῖς ἤδη ξυνήθης εἰμί· καὶ πολλάκις ἐπαναβὰς ἐπὶ τὰ νῶτα καὶ τῆς κόμης λαβόμενος ἡνιοχῶ αὐτούς· οἱ δὲ σαίνουσί με καὶ τὴν χεῖρα δεχόμενοι ἐς τὸ στόμα περιλιχμησάμενοι ἀποδιδόασί μοι. αὐτὴ μὲν γὰρ ἡ Ῥέα, πότε ἂν ἐκείνη σχολὴν ἀγάγοι ἐπ' ἐμὲ ὅλη οὖσα ἐν τῷ Ἄττῃ; καίτοι τί ἐγὼ ἀδικῶ δεικνὺς τὰ καλὰ οἷά ἐστιν; ὑμεῖς δὲ μὴ ἐφίεσθε αὐτῶν. ΑΦΡ. ἀλλ' ἀδύνατον ὦ
235 τέκνον μὴ ἐφίεσθαι τῶν καλῶν. ΕΡΩΣ. μὴ τοίνυν * ἐμὲ αἰτιᾶσθε τούτων. ἢ θέλεις σύ, ὦ μῆτερ, μηκέτι

---

p. 749 et p. 858 ed. sec., ubi: ‚dubium, inquit, an rectius dicatur ἐν ἑαυτοῦ εἶναι‘. in hujusmodi locis praeferre genetivum solebat, quo ipse Aristophanes in Vespis 642 utitur. Luciani autem tempore etsi ita dativum quoque positum esse constat: tamen quum in D. Mar. II, 2 pro vulgata ἐν ἐμαυτῷ B optimus codex ἐν ἐμαυτοῦ exhibeat, hic item conjicere malim ἔτι ἐν αὐτῆς οὖσα post Cobetum V. L. p. 228 et Dindorfium. κελεύσῃ] κελεύσει Ψ. διασπάσασθαι] διεσπάσασθαι A (ut videtur), διασπᾶσαι 𝔄. παραβαλεῖν] παραβάλλειν 𝔄. ταῦτα — ὁρῶσα] haec quum languida esse et male conglutinata neque rotunda nec Venere satis digna mire Hemsterhusius judicasset: visa sunt et Popponi suspecta et Dindorfio. sed haec verba jam alibi satis superque defendi.

2. ἐπαναβὰς] ἀναβὰς 𝔄. περιλιγχμησάμενοι A (ita A). πότε ἂν ἐκείνη] ἐκείνη om Δ solus (ita Δ). at ἐκείνη hic non minus bene se habet, quam αὕτη in D. Mar. III, 1: ἡ δέ, ποῦ σοι γῆς αὕτη ῥεῖ; itaque falsa est conjectura Cobeti V. L. p. 228 et Dindorfii: πότε ἂν καὶ (pro ἐκείνη). ἀγάγοι] α^{γ}Γοι^{ει} (sic) Ψ i. e. ἄγοι et supra ἄγει. Ἄττῃ ACΨ𝔄 et v, ἄττῃ B, Ἄττει Δ, Ἄττι a et ubi ι in ras. Ω. ἐγὼ om 𝔄. μὴ ἐφίεσθε τῶν καλῶν. μὴ τοίνυν BACΨΩ et v, μὴ ἐφίεσθαι τῶν καλῶν. μὴ τοίνυν pr. m Δ, ubi sec m: ἐφίεσθε, sed 𝔄 sic: μὴ ἐφίεσθε αὐτῶν. ΑΦΡ. ἀλλ' ἀδύνατον ὦ τέκνον μὴ ἐφίεσθαι τῶν καλῶν. ἘΡ. μὴ τοίνυν —. ita 𝔄, personae tamen ambiguo ductu inter ἘΡ. (Ἔρως) et ΕΡμ (quasi Ἑρμῆς). quae omnia ut par est verbotenus recepi. nam hic quidem 𝔄 unus Luciani manum servavit, e caeteris autem libris verba septem cum duplici persona pessime exciderunt, aberrante scribae oculo ab his μὴ ἐφίεσθε ad μὴ ἐφίεσθαι. Hemsterhusium vero hic nemo audivit, qui recte judicarat μὴ ἐφίεσθε

ἐρᾶν, μήτε αὐτὴ τοῦ Ἄρεος μήτ' ἐκεῖνον σοῦ; ΑΦΡ. ὡς δεινὸς εἶ καὶ κρατεῖς ἁπάντων· ἀλλὰ μεμνήσῃ μού ποτε τῶν λόγων.

XIII.

ΔΙΟΣ, ΗΡΑΚΛΕΟΥΣ ΚΑΙ ΑΣΚΛΗΠΙΟΥ.

1\. *ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν. ΗΡΑ. ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου; ΑΣΚ. νὴ Δία, καὶ γὰρ ἀμείνων εἰμί.*

τῶν καλῶν non optime concordare cum adjuncto *μὴ τοίνυν*, nec bene rationem conclusam sed falsam esse istam argumentationem: ex quo sequi, ut aliter Lucianus scripserit. tamen quod idem vir mutatione verborum uti voluit, id a Poppone et Lehmanno bene refutatum est. verbis enim quae vulgo exciderunt tandem restitutis ne litera quidem mutata opus esse liquet. *τούτων*] *τούτων ἕνεκα* 𝔄. *ἤ*] *ἢ* U. *σὺ ὦ μῆτερ αὐτὴ* BACΨ et v, *σὺ μῆτερ αὐτὴ* (om *ὦ*) Ω, *σὺ αὐτὴ ὦ μῆτερ* Δ, *σὺ ὦ μῆτερ* (om *αὐτὴ*) 𝔄. *μήτε σὲ* libri omnes, pro quo Bekker nominativum jure quaerens conjecit *μήτε σύ* probante Dindorfio. immo uti nunc 𝔄 docet, isto *σὲ* deleto *αὐτὴ* ita transponendum est: *σύ, ὦ μῆτερ, μηκέτι ἐρᾶν μήτε αὐτὴ τοῦ* —. in libris plerisque et vulgo est: *σὺ ὦ μῆτερ, αὐτὴ μηκέτι ἐρᾶν μήτε σὲ τοῦ* —, ut jam supra dixi. at *μήτε σέ* hic non est graece dictum. errorem Schaeferi ad Bos. Ellips. p. 224, qui in oppositis nominativum infinitivo jungi posse negabat, et partim Lobecki ad Phryn. p. 750 ego primus (opinor) refutavi in Quaestt. L. p. 102. *Ἄρεως* BAC𝔄Ω et v, *Ἄρεος* Δ (ita Δ) Ψ cum Bekkero. recepi. *μήτ' ἐκεῖνον*] *μήτε ἐκεῖνον* BA𝔄ΨΩ. *εἶ*] *εἶ σὺ* 𝔄. *μεμνήσῃ*] *μέμνησο* Δ solus. *μού ποτε*] *ποτέ μου* 𝔄.

XIII.

ΔΙΟΣ — ΑΣΚΛΗΠΙΟΥ] ita ego scripsi; *Ζεύς. Ἡρακλῆς, Ἀσκληπιὸς* B et bis A, semel idem A: *Ζεὺς. Ἡρακλῆς καὶ Ἀσκληπιός*, tum *Διὸς καὶ* (*καὶ* om vulgo) *Ἀσκληπιοῦ καὶ Ἡρακλέους* F et vulgo, denique Thomas p. 88, 7: *ἐν τῷ Ἡρακλέους καὶ Ἀσκληπιοῦ διαλόγῳ.* recte etiam BA, si omnibus dialogis praefigantur nominativi.

1\. *Ἡράκλεις*] *Ἥρακλες* BA𝔄Ψ. *ἄνθρωποι*] *οἱ ἄνθρωποι* 𝔄. *ἐθέλεις*] *θέλεις* 𝔄ΩF. *τουτονὶ*] *τοῦτον* 𝔄ΩF. *προκατα-*
λ
κρίνεσθαι (*λ* sec m) A. *καὶ γὰρ ἀμείνων* 𝔄ΩF, *καὶ ἀμείνων γὰρ* BACΔΨ et v. at h. l. *καὶ ἀμείνων γὰρ* dici non poterat. quare

236 *ΗΡΑ. κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε * ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας; ΑΣΚ. ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; ΗΡΑ. οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος εἰς ἐπίθεσιν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲ ἓν ἐπιδεδειγμένος.*

237 2. *ΑΣΚ. εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα * ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ*

---

cunae. nam haec fere verba exciderunt: *ΠΑΡ. ἀπόδυτε καὶ ὑμεῖς, αἱ δύο.* confer § 11 med. *ΑΘ. μὴ*] *ΕΡ. μὴ* 𝔄. *ἀποδύσῃς αὐτὴν* BAC𝔄Δ (ita Δ) Ω, *ἀπολύσῃς αὐτὴν* M (ita M), *αὐτὴν ἀποδύσῃς* Td, *αὐτὴν ἀποδύσῃ* abc et v. *δι᾽ αὐτοῦ*] *δι᾽ αὐτὸν* Δ (ita Δ). *μηδ᾽ οὕτω* Δ et v, *μηδὲ* (*μὴ δὲ* A) *οὕτω* BACΩM, *μὴ οὕτω* 𝔄. *ὡς ἀληθῶς*] *ὡς* om Ω. *ἑταίραν* B, *ἑταῖράν* A et v. *ἀλλὰ γυμνὸν* A𝔄CΔ et v, etiam B, in quo tamen *ἀλλὰ* m sec., sed *γυμνὸν δὲ καὶ ἄτεχνον* ΩM. *ΠΑΡ. εὖ*] *Ἑρμ. εὖ* ΔY. *τὸ περὶ*] *τὰ περὶ* Ω. *ΑΦΡ. τί οὖν*] *ἥρα. τί οὖν* A (ita A), sed 𝔄 hic omni caret persona. *ὦ Ἀθηνᾶ* BACΩ, *ἀθηνᾶ* 𝔄ΔM et v. *κόρην* (υ sec m) A. *ἐπισείεις*] *ἐπισεί*Hς B. *καὶ τὸν δικαστὴν*] *καὶ τὸν δία καὶ τὸν δικαστὴν* Δ (ita Δ, non item C). *φοβεῖς*] *φοβήσεις* B𝔄Δ (ita Δ, non C). *μή σοι ἐλέγχηται*] haec om 𝔄. *τὸ γλαυκὸν*] *τὸν γλαυκὸν* AC. post *βλεπόμενον.* persona *Πάρις* in A. post *ἀφῄρηται.* persona *Ἀθην.* in A. *ἰδοὺ καὶ σοὶ* C𝔄M, *ἰδοὺ καί σοι* BΔΩ, *ἰδοὺ καὶ σύ*[οι] (οι sec m) A, *ἰδού σοι καὶ* v. *κεστὴς* pr m A. *ΗΡΑ* om A. *ἀλλ᾽* 𝔄ΩM et v, *ἀλλὰ* BACΔ. *ἀποδυσώμεθα*] *ἀπεδυσάμεθα* Y.

11. *τῆς θέας* om Ω. *οἵα*] *οἷα* B. *βασιλικὸν αὕτη καὶ σεμνὸν* B𝔄ΩΔMVY, *βασιλικὸν αὐτὴ καὶ σεμνὸν* edd. vett., sed *σεμνὸν αὕτη καὶ βασιλικὸν* AC (ita AC), lectione speciosa, quacum confer Vergil. Aen. I, 46 sq. *καὶ ἀληθῶς*] *ἀληθῶς* om Δ, sed *καὶ ὡς ἀληθῶς* habent AC𝔄. post *Διὸς* habent *ὁρᾷ δὲ ἡδέως* BAC𝔄 abc, *ἡδέως δὲ ὁρᾷ* ΩM, sed *ὡς δὲ ὁρᾷς ἥδε ἡδέως* d, quod editores

ἅλις ἔχω τῆς εὐδαιμονίας· εἰ δοκεῖ δὲ, καὶ ἰδίᾳ καθ'
ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι
καὶ οὐκ οἶδα πρὸς ὅ τι ἀποβλέψω, πάντῃ τὰς ὄψεις
περισπώμενος. ΑΦΡ. οὕτω ποιῶμεν. ΠΑΡ. ἄπιτε
οὖν αἱ δύο· σὺ δὲ, ὦ Ἥρα, περίμενε. ΗΡΑ. περι-
μενῶ. κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα σοι καὶ ἄλλα ἤδη
σκοπεῖν, εἰ καλά σοι καὶ τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς.
ἢν γάρ με, ὦ Πάρι, δικάσῃς εἶναι καλὴν, ἁπάσης ἔσῃ
263 τῆς Ἀσίας δεσπότης. ΠΑΡ. οὐκ ἐπὶ δώροις * μὲν τὰ
ἡμέτερα, ἀλλ' ἄπιθι· πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ.
12. σὺ δὲ πρόσιθι, ἡ Ἀθηνᾶ. ΑΘ. παρέστηκά σοι.
κᾆτα ἤν με, ὦ Πάρι, δικάσῃς καλὴν, οὔποτε ἥττων
ἄπει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν· πολεμιστὴν γάρ σε καὶ
νικηφόρον ἀπεργάσομαι. ΠΑΡ. οὐδὲν, ὦ Ἀθηνᾶ, δεῖ
μοι πολέμου καὶ μάχης· εἰρήνη γάρ, ὡς ὁρᾷς, τὰ νῦν
ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν, καὶ ἀπολέμητος
ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. θάρρει δέ· οὐ μειονεκτήσεις
γάρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. ἀλλ' ἔνδυθι ἤδη
καὶ ἐπίθου τὴν κόρυν· ἱκανῶς γὰρ εἶδον. τὴν Ἀφρο-

(ὁρᾷ restituto) comprobarunt, recte ut opinor. nam ὡς, quod ante ἀληθῶς tres libri habent, huc potius referendum erat. γραφυρόν τι 𝔄, γλαφυρὸν (om τι) Ω solus (non item M). τῆς εὐδαιμ.] τῆς om Ω sed suprascr. καὶ ἰδίᾳ] ἰδίᾳ om ΩM. ἐπιδεῖν] ἰδεῖν 𝔄Ω. πρὸς ὅ, τι ἀποβλέψω BA𝔄, πρὸς τί καὶ ἀποβλέψω Ω, πρὸς ὅ τι καὶ ἀποβλέψω v (de CΔM non liquet). ΑΦΡ.] ita ΩM et v, ΘΕΑΙΝ. 𝔄, Θεαί. Δ, sed A in textu ἀθην., in margine notatum ἥρα (ita A). scribi potest sive ΑΦΡ. sive Ἥρα. οὖν] γοῦν AC.

ὦ Ἥρα] ὦ om Ω. περιμενῶ B𝔄VY, περιμένω ACΔΩM et v, quod Bekker servat. ὥρα] ὅρα VΩM. καὶ ἄλλα BAC𝔄ΔΩ, καὶ τἄλλα (τἆλλα bc) VM et v. καὶ τὰ δῶρα BAC𝔄ΔD, καὶ δῶρα V, τὰ δῶρα (om καὶ) ΩM et v. τῆς ψήφου BAC𝔄ΔDV, τῆς νίκης ΩM et v. ἢν] ἣν A. ὦ Πάρι, δικάσῃς] δικάσῃς, ὦ Πάρι M. ἔσῃ τῆς Ἀσίας] τῆς ἀσίας ἔσῃ AC. ἀλλ' BAC𝔄Δ(V), πλὴν ΩM, πλὴν ἀλλ' v. ἄπιθι] ἔπιθι A (ita A). ἅπερ ἂν δοκῇ] ἅπερ δοκεῖ Δ (ita Δ, non CM).

12. ἡ Ἀθηνᾶ BAC𝔄Δ, Ἀθηνᾶ ΩM et v. κᾆτα] καὶ ΩM.

ἤν με, ὦ Πάρι] ὦ Πάρι ἤν με 𝔄. ὦ Ἀθηνᾶ BAC𝔄ΔDΩM, Ἀθηνᾶ edd. vett. δεῖ μοι] δεῖ με B solus. τὰ νῦν B, τανῦν A et v. τὴν Φρυγίαν τε] τήν τε Φρυγίαν ΩM. δικάζωμεν]

δίτην παρεῖναι καιρός. 13. *ΑΦΡ.* αὕτη σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς μηδὲν παρατρέχων, ἀλλ' ἐνδιατρίβων ἑκάστῳ τῶν μερῶν. εἰ δ' ἐθέλεις, ὦ καλέ, καὶ τάδε μου ἄκουσον· ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα [καὶ καλὸν], ὁποῖον οὐκ οἶδ' εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι

δικάζωμαι A. ἐπίθου] ἐπίθες D (ita D). τὴν Ἀφροδίτην] hanc totam de dearum judicio fabulam graecos quosdam scriptores removere frustra studuisse Hemsterhusius ad D. D. XX, 1 (T. I p. 253) demonstravit, qui nondum nosse poterat Anticlidis opinionem sane ridiculam in scholio Veneto ad Eurip. Androm. v. 276. immo (id quod ibidem in Vaticano scholio Chrysippum stoicum et jam antea Sophoclem ap. Athen. XV p. 687, c non fugit) fabella ista docet, Parin regni splendori et gloriae belli delicias praetulisse amoris. ceterum epici in fabulis enarrandis non Aesopi simplicitate sed ambagibus deorumque ministeriis utuntur et historici more fabulosa inventa oculis subjiciunt quasi res haud dubie gestas. sed ‚judicium dearum' invenisse ipse Homerus olim putabatur ob duo versiculos in Jl. ω', 29 sq. at hosce versus ab Homero recte abjudicavit primus Hemsterhusius l. l., ideo quod veterum quidam in his Macrobius Saturn. V, 16 (qui ad Verg. Aen. I, 27 adludit) observarint, nullam de judicio Paridis mentionem ab Homero factam esse. hodie e scholiis Venetis ad Jl. l. l. liquet, Aristophanem Byz. versus istos aliter scriptos adhuc servasse, Aristarchum autem v. 30 (et haud dubie etiam v. 29) ut Homero indignum rejecisse. sed Aristarchus, qui in scholiis nulla alia re nisi voce non homerica μαχλοσύνη motus esse dicitur, omnium primus perspexisse videtur fabulam de judicio dearum in Homerum non cadere. Aristarchus enim cyclicos poetas ipsos legerat sciebatque (id quod nos post Hemsterhusi obitum e cod. Escurialensi didicimus) fabulam de judicio dearum aliquanto post Homerum primo narratam fuisse in ‚Cyprio carmine' sive Stasini sive alius poetae cyclici. Proculi, qui haec nos docuit, locum multi ediderunt veluti Gaisfordus ad Hephaest. T. I p. 452 sqq. ed. sec. postremo duo versus Jl. ω', 29 sq. male suppositos esse alia quoque argumento sunt, quae hic omnia persequi longum est. interim vide Prellerum Gr. Mythologie T. II p. 412.

13. αὕτη Jac. Gronovius aliique, αὐτὴ libri. καθ' ἓν] καθ' ἕνα A. μερῶν BC (ita C) Δ𝔄D(V), ἡμερῶν A, μελῶν ΩM et v. δ' ἐθέλεις B, δὲ θέλεις AC𝔄ΔΩM et v. καὶ καλὸν ΩM et v, sed om BACΔ𝔄. οὐκ οἶδ' εἴ AC, οὐκ οἶδα εἴ ΩM et sec m B, sed οὐκ εἴ 𝔄Δ et pr m B. τοῦ κάλλους] τοὺς κάλλους A.

δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους καὶ ταυτασὶ τὰς
264 πέτρας κατ' ἄστυ ζῆν, ἀλλὰ * διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ. τί μὲν γὰρ ἂν σὺ ἀπολαύσειας τῶν ὀρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βόες; ἔπρεπε δὲ ἤδη σοι καὶ γεγαμηκέναι, μὴ μέντοι ἀγροῖκόν τινα καὶ χωρῖτιν, οἷαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος ἢ Ἀργόθεν ἢ ἐκ Κορίνθου ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστί, νέα τε καὶ καλὴ καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική. ἐκείνη γὰρ εἰ καὶ μόνον θεάσαιτό σε, εὖ οἶδ' ἐγώ, πάντα ἀπολιποῦσα καὶ παρασχοῦσα ἑαυτὴν ἔκδοτον ἕψεται καὶ συνοικήσει. πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς. *ΠΑΡ.* οὐδέν, ὦ Ἀφροδίτη· νῦν δὲ ἡδέως ἂν ἀκούσαιμί σου τὰ πάντα διηγουμένης. 14. *ΑΦΡ.* αὕτη θυγάτηρ μέν ἐστι Λήδας, ἐκείνης τῆς καλῆς, ἐφ' ἣν ὁ Ζεὺς κατέπτη κύκνος γενόμενος. *ΠΑΡ.* ποία δὲ τὴν ὄψιν ἐστί; *ΑΦΡ.* λευκὴ μέν, οἵαν εἰκὸς ἐκ κύκνου γεγεννημένην· ἁπαλὴ δέ, ὡς ἐν ᾠῷ τραφεῖσα, γυμνὰς τὰ πολλὰ

γὰρ ἂν σὺ BACΩM, γὰρ σὺ 𝔄Δ et v. ἀπόναιντο] ἀπώναντο B. ἔπρεπεν a. καὶ γεγαμηκέναι BAC𝔄Ω, καὶ om edd. vett. et fortasse ΔM. ἀγροῖκόν B, ἄγροικόν A et v. καὶ χωρῖτιν BC𝔄ΩM, καὶ χωρίτην Δ, χωρῖτιν (om καὶ) A, καὶ χωρίτιν edd. vett. Ἴδην] ἴδην A. Ἀργόθεν BACD𝔄ΔΩM, Ἀργῶθεν edd. vett. οἵαπερ B, οἵάπερ A, οἷαπερ edd. vett. νέα τε καὶ AC, νέα καὶ 𝔄ΔΩM et fortasse B et v. ἐρωτικὴ] ἐρωτικήν 𝔄. γὰρ εἰ ACΔ𝔄 et haud dubie B et edd. vett., γὰρ δὴ εἰ ΩM (ita M, non Δ) soli, de quo Lehmannus recte judicavit. εἰ καὶ μόνον om a. εὖ οἶδ' ἐγὼ D, εὖ οἶδα ἐγὼ ΩM (ita M, non Δ), sed (εὖ omisso) οἶδ' ἐγὼ Δ et edd. vett., οἶδα ἐγὼ BAC𝔄. vide varr. lect. Necyom. 17. πάντα] ὡς ἅπαντα ΩM. τὰ πάντα] τὰ om AC.

14. αὕτη — τὸν γάμον.] h. l. Lucianus Isocratis sui in Ἑλένης ἐγκωμίῳ obscure meminisse videtur, ubi nonnulla ad verbum similia sunt. τῆς καλῆς] τῆς κεφαλῆς A (ita A). Παρ. ποία — Αφρ. λευκὴ — BAC𝔄ΔΩM cum Marcilio, quae Veneri continuant edd. vett. ποία δὲ τὴν ὄψιν ἐστί; BAC𝔄Δ, ποία δὲ τὴν ὄψιν; ΩM(V), ποία δέ τις τὴν ὄψιν; v. vulgatae favet locus Imagg. c. 3: ποία τις ἦν τὴν ὄψιν; λευκὴ] λευκὴν B. οἵαν] οἷαν B, οἷον B, οἷον Ω et pr m M (ita M). εἰκὸς] εἰκὸς εἶναι A adhuc solus, probante Bekkero. ἐκ κύκνον (υ sec m) A. γεγεννημένην B𝔄

καὶ παλαιστική, καὶ * οὕτω δή τι περισπούδαστος, ὥστε 265
καὶ πόλεμον ἀμφ' αὐτῇ γενέσθαι, τοῦ Θησέως ἄωρον
ἔτι ἁρπάσαντος. οὐ μὴν ἀλλ' ἐπειδήπερ ἐς ἀκμὴν κατ-
έστη, πάντες οἱ ἄριστοι τῶν Ἀχαιῶν ἐπὶ τὴν μνηστείαν
ἀπήντησαν, προεκρίθη δὲ Μενέλεως τοῦ Πελοπιδῶν γέ-
νους· εἰ δὴ θέλοις, ἐγώ σοι καταπράξομαι τὸν γάμον.
ΠΑΡ. πῶς φής; τὸν τῆς γεγαμημένης; ΑΦΡ. νέος εἶ
σὺ καὶ ἀγροῖκος, ἐγὼ δὲ οἶδα ὡς χρὴ τὰ τοιαῦτα δρᾶν.
ΠΑΡ. πῶς; ἐθέλω γὰρ καὶ αὐτὸς εἰδέναι. 15. ΑΦΡ.
σὺ μὲν ἀποδημήσεις ὡς ἐπὶ θέαν δὴ τῆς Ἑλλάδος, κἀ-
πειδὰν ἀφίκῃ ἐς τὴν Λακεδαίμονα, ὄψεταί σε ἡ Ἑλένη·
τοὐντεῦθεν δὲ ἐμὸν ἂν εἴη τὸ ἔργον, ὅπως ἐρασθήσεταί
σου καὶ ἀκολουθήσει. ΠΑΡ. τοῦτ' αὐτὸ καὶ ἄπιστον
εἶναί μοι δοκεῖ, τὸ ἀπολιποῦσαν τὸν ἄνδρα ἐθελῆσαι
βαρβάρῳ καὶ ξένῳ συνεκπλεῦσαι. ΑΦΡ. θάρρει τούτου
γε ἕνεκα· παῖδε γάρ μοι ἐστὸν δύο καλώ, Ἵμερος καὶ * 266
Ἔρως· τούτω σοι παραδώσω ἡγεμόνε τῆς ὁδοῦ γενησο-
μένω, καὶ ὁ μὲν Ἔρως ὅλος παρελθὼν ἐς αὐτὴν ἀναγ-

---

et fortassis Ω, γεγενημένην ACΔM et v. γυμνὰς — παλαιστική hinc adfert Thomas p. 290, 6. γυμνὰς] γυμνὴ D et Leidensis ap. Thomam. παλαιστρικὴ M et idem Leidensis, licet ipse Thomas Luciano ob formam παλαιστικός utatur. καὶ οὕτω δή τι] οὕτω δέ τι (καὶ om) M, οὕτω δὲ (om καὶ et τι) Ω. de illo οὕτω δή τι vide Schaeferum ad Demosth. T. II p. 531. de Helena, quae h. l. est οὕτω δή τι περισπούδαστος ὥστε — Isocrates l. l. § 40: οὕτω πρόδηλος ἦν ἅπασιν ἐσομένη περιμάχητος, ὥστε —. ἐς ἀκμὴν BACΔ, εἰς ἀκμὴν 𝔄ΩM et v. Ἀχαιῶν] ἀρχαιῶν A. ἀπήντησαν] κατέστησαν Ω, aberrante scriba ad superius κατέστη. μενέλεως BAC, ὁ μενέλεως 𝔄Δ (ita Δ), μενέλαος ΩM et v. εἰ δὴ BAC (ita AC) 𝔄ΔT, εἰ δὲ ΩM et v. θέλοις BACΩ, θέλεις 𝔄ΔM et v, quod olim defendi comparato Struvio L. Luc. p. 227. καταπράξομαι] καταπράξαιμι Δ(V). πῶς φής; om 𝔄Δ. ΑΦΡ. personam om A. ἀγροῖκος BA, ἄγροικος v. ΠΑΡ. personam om A.

15. ὡς ἐπὶ DΔΩM, ἐπὶ (om ὡς) BAC𝔄 et v. δὴ om ΩM. de ironicis ὡς — δή in ed. pr. p. 53 disserui. κἀπειδὰν] κἀπειδὴ B. τοῦτ' αὐτὸ] τοῦτο αὐτὸ BACΩ. δύο BACΔΩM, δύω 𝔄 et v. παραδώσω] παρα, suprascr. δώσω Ω. γενησομένω] γεγενημένω 𝔄Ω. ὅλος BACD𝔄ΔΩM, ὅλως edd. vett. cf. Horat. Od.

κάσει τὴν γυναῖκα ἐρᾶν, ὁ δ' Ἵμερος αὐτῷ σοι περιχυθεὶς τοῦθ' ὅπερ ἐστὶν, ἱμερτόν τε θήσει καὶ ἐράσμιον, καὶ αὐτὴ δὲ συμπαροῦσα. δεήσομαι δὲ καὶ τῶν Χαρίτων ἀκολουθεῖν, καὶ οὕτως ἅπαντες αὐτὴν ἀναπείσομεν. ΠΑΡ. ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Ἀφροδίτη· πλὴν ἐρῶ γε ἤδη τῆς Ἑλένης καὶ οὐκ οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἴομαι καὶ πλέω εὐθὺ τῆς Ἑλλάδος καὶ τῇ Σπάρτῃ ἐπιδημῶ καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα καὶ ἄχθομαι, ὅτι μὴ ταῦτα πάντα ἤδη ποιῶ. 16. *ΑΦΡ. μὴ πρότερον ἐρασθῇς, ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν καὶ νυμφαγωγὸν ἀμείψασθαι τῇ κρίσει. πρέποι γὰρ ἂν κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τἀπινίκια. πάντα γὰρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον τουτουῒ τοῦ μήλου πρίασθαι. ΠΑΡ. δέδοικα μή μου ἀμελήσῃς μετὰ τὴν*

I, 19, 9. *παρελθὼν*] *περιελθὼν Ω.* *ἐς*] *εἰς Ω* solus. *ὁ δ' Ἵμερος* C (ita C) 𝔄Δ et v, *ὁ δὲ Ἵμερος* BΩM, *ὁ δὲ ἵημερος* A. *τοῦθ'*] *τοῦτ' αὐτὸ* ΩM. *ἱμερτόν τε*] *ἵμερόν τε Ω.* male Lehmannus aliique *ἱμερτόν σε* conjecerunt. *συμπαροῦσα δεήσομαι* v, sed *συμπαροῦσα. δεήσομαι* BA. sic quoque hic l., in quo Futurum aliquod excidit, mendosus est. quidnam exciderit, divinare licet e c. 16: *καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω* —. hinc corrigo: *συμπράξω παροῦσα. δεήσομαι* —. *δεήσομαι δὲ καὶ* BA et fortasse CΩ, *δεήσομαι καὶ* 𝔄ΔM et v. *ἀκολουθεῖν* BAC𝔄Δ et v, *συνακολουθεῖν* DΩM. *καὶ οὕτως ἅπαντες* DΩM, om *καὶ οὕτως* BAC𝔄Δ et v. *ἀναπείσομεν* M et v, *πείσομεν Ω, ἵνα πείσωμεν* BAC𝔄ΔVTY vitiose. *ταῦτα* BACΔ𝔄ΩMDVTUYd, *τάχα* abc. *οἴομαι* libri omnes, non *οἶμαι* ut Dindorfius. *ἔχων*] *ἑλὼν* ΩM (ita M). *ταῦτα πάντα ἤδη* 𝔄, *ἤδη ταῦτα πάντα* M (ita M), *ἤδη πάντα ταῦτα Ω, πάντα ταῦτα ἤδη* vulgo, sed *ταῦτα ἤδη πάντα* BACΔ, mendose.

16. *πρέποι γὰρ ἂν* BAC𝔄TΩ, *πρέπει γὰρ ἂν* ΔMd, *πρέπει γὰρ* V et v. *νικηφόρον* ΔΩMabc et v, *νικητιφόρον* d, *κανηφόρον* BA𝔄VT cum scholiasta. *ὑμῖν συμπαρεῖναι*] *ἡμῖν συμπαρεῖναι* a, *εἶναι ὑμῖν παρεῖναι* VT. *καὶ τὰ ἐπινίκια* plerique codices et v, *καὶ ἐπινίκια Ω,* sed *καὶ τἀπινίκια* 𝔄, recte. vide Cobetum V. L. p. 140. *τὸ κάλος* A. *τουτουῒ* DΩM, *τούτου* BACΔ𝔄 et v. *πριᾶσθαι* B. *ἀμελήσῃς* BAC𝔄DΩ, *ἀμελήσεις* v et fortasse ΔM. *βούλει οὖν* BAC𝔄ΔΩM(V)d, *βούλει τέ σοι* D, *βούλει*

κρίσιν. ΑΦΡ. βούλει οὖν ἐπομόσωμαι; ΠΑΡ. μηδαμῶς, ἀλλ' ὑπόσχου πάλιν. ΑΦΡ. ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα, * καὶ ἀκολουθήσειν 267
γε αὐτὴν καὶ ἀφίξεσθαι παρ' ὑμᾶς ἐς τὴν Ἴλιον· καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω τὰ πάντα. ΠΑΡ. καὶ τὸν Ἔρωτα καὶ τὸν Ἵμερον καὶ τὰς Χάριτας ἄξεις; ΑΦΡ. θάρρει, καὶ τὸν Πόθον καὶ τὸν Ὑμέναιον ἔτι πρὸς τούτοις παραλήψομαι. ΠΑΡ. οὐκοῦν δίδωμί σοι τὸ μῆλον· ἐπὶ τούτοις λάμβανε.

ω
abc. ἐπομόσωμαι AC, ἐπομώσομαι Δ (sic), ἐπομόσομαι V, ἐπομόσασθαι 𝔄, ἐπομόσομαι BΩM et v. ἀλλ'] ἀλλὰ BACΩ. γε ἐπ' αὐτὴν AC𝔄Δ et v, γε ἐπὶ αὐτὴν B, sed γέ σοι αὐτὴν (omisso ἐπ') ΩM (ita ΩM diserte). mendosum esse ἐπ' primus vidit Hemsterhusius non sine mala conjectura γε ἔτι αὐτήν. postea Burmeister in Quaest. cr. p. 4 ἐπ' αὐτήν non bene ambo deleta voluit, alii autem unum ἐπ' recte delerunt. aut γέ σοι αὐτήν cum ΩM scribendum est, id quod mihi ipsi in ed. prim. p. 55 probatum Bekker recepit, aut γε αὐτήν edendum, quod Jacobitius in ed. sec. et nunc ego quoque praetulimus. ἐς τὴν BACΔ𝔄 et fortassis Ω, εἰς τὴν M et v. ΠΑΡ.] personam om A. ἄξεις] τάξεις A, ἕξεις D. ΑΦΡ.] personam om A. Πόθον] Πειθὼ Y. καὶ τὸν Ὑμέναιον ἔτι BAD et Belini C, ἔτι καὶ τὸν Ὑμέναιον ΩM (ita M), καὶ τὸν Ὑμέναιον (om ἔτι) 𝔄Δ et Lachmanni C et v. πρὸς τούτοις] πρὸς τούτους A. ΠΑΡ. οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε BACΔΩ et v, δίδωμί σοι pro δίδωμι, caetera eodem modo Md, verba ἐπὶ τούτοις λάμβανε om, caetera habet eodem modo D, sed 𝔄 sic: ΠΑΡ. οὐκοῦν δίδωμι τὸ μῆλον ἐπὶ τούτοις καὶ λάμβανε. et quis credat in decem verbis continuis τούτοις ter scriptum fuisse? quod ad vulgatam pertinet, hujus vitii sedem jam in ed. pr. p. 55 recte monstravi delevique altero l. ἐπὶ τούτοις ‚a scribis bis positum, quum semel oporteret'. et tum quidem posteriore l. ἐπὶ τούτοις delevi cum cod. Oxon. at hodie scio, cod. Vaticanum priore l. ἐπὶ τούτοις non agnoscere. quare nunc ita correxi: ΠΑΡ. οὐκοῦν δίδωμί σοι τὸ μῆλον· ἐπὶ τούτοις λάμβανε. adde quod alii dialogi deorum similiter desinunt, primus ita: σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω et secundus: ἐπὶ τούτοις ἀφίημί σε. caeterorum emendationes vel ideo falsae sunt, quod omnes istuc ἐπὶ τούτοις utroque loco male servarunt et ut posset servari, mutarunt etiam personas. ita Van Eldik in Suspicion. Spec. p. 18 voluit: ΑΦΡ. — παραλήψομαι. οὐκοῦν ἐπὶ τούτοις δίδως μοι τὸ μῆλον; ΠΑΡ. ἐπὶ τούτοις λάμβανε, ita Eldiki pedisequus

XXI.

ΑΡΕΩΣ ΚΑΙ ΕΡΜΟΥ.

1. *ΑΡ.* Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπεροπτικὰ καὶ ἀπίθανα; ἢν ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δ' εἰ ἀποκρεμασθέντες κατασπᾶν βιάσεσθέ με, μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλατταν συναρτήσας μετεωριῶ· καὶ τἄλλα ὅσα καὶ σὺ
268 ἀκήκοας. ἐγὼ δὲ, ὅτι μὲν καθ' ἕνα * πάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν, οὐκ ἂν ἀρνηθείην· ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν ὡς μὴ καταπονήσειν αὐτὸν, κἂν

Cobetus in V. L. p. 143 similiter sane: *ΑΦΡ.* — *παραλήψομαι. οὐκοῦν ἐπὶ τούτοις δίδου μοι τὸ μῆλον. ΠΑΡ. ἐπὶ τούτοις λάμβανε* probante Dindorfio. enimvero sicut nexus h. l. docet, Paris judex, nova non superior persona rationem concludit, ut *ΠΑΡ.* ante *οὐκοῦν* non temere mutandum sit. et hoc quidem Seager et Bekker bene viderunt loco ipso non bene ita scripto: *ΠΑΡ. οὐκοῦν ἐπὶ τούτοις δίδωμί σοι τὸ μῆλον. ΑΦΡ. ἐπὶ τούτοις λαμβάνω.* at isto modo ita demum scribi posset, si Venus devinci voluisset neque lubens pomum accepisset sed invita.

XXI.

1. *καὶ ἀπίθανα* ACΩM et v, *ὡς ἀπίθανα* Δ, *καὶ ὡς ἀπίθανα* B𝔄Ψ. *σειρὰν*] *σειρὴν* ΩF. *καθήσω* 𝔄ΨΩM et v, *καθήσας* BAC, *καθεὶς* Δ. *ὑμεῖς δ' ἢν* edd. vett., *ὑμεῖς δὲ* BAC𝔄ΔΨΩMF, quod in prima ed. probavi recepta interpolatione *ἀλλὰ μάτην.* immo corrigere debebam: *ὑμεῖς δ' εἰ* —, ut docent opposita *εἰ δὲ ἐγὼ θελήσαιμι* —. *βιάζεσθέ* F (σ supra pr m), *βιάσεσθέ* ΨΩ, *βιάζεσθέ* AC𝔄Mabc, *βιάζησθέ* d, *βιάζητε* Δ. *μάτην* BACΨΔ et fortasse M et v, *ἀλλὰ μάτην* 𝔄ΩF. *δὴ καθελκύσετε* (*καθερκύσετε* A) BACΨΔ et v, *ἂν καθελκύσητε* 𝔄ΩMF. *εἰ δὲ ἐγὼ* BACΨΔ et v, *εἰ δ' ἐγὼ* 𝔄, *ἐγὼ δὲ εἰ* ΩMF. *ἀνελκῦσαι* BA. *θάλατταν* BACΔΨΩ, *θάλασσαν* 𝔄M et v. *συναρτήσας* BACΔΨ et v, *συναναςπάσας* 𝔄ΩMF. *τἄλλα* (*τἆλλα* A)] *τὰ ἄλλα* ΩMF. *καθ' ἕνα πάντων* BACΔΨ𝔄ΩMF cum Graevio, *καθ' ἕν' ἁπάντων* edd. vett. *ἐστιν*] *εἰμι* 𝔄. *τῶν τοσούτων*] *τοσοῦτον* 𝔄. *καταπονήσειν* BACΔΨ et sec m M et d, *καταβαρήσειν* 𝔄ΩF et pr m M et v. *κἂν τὴν γῆν* om A, pro his *ἢν καὶ τὴν γῆν* 𝔄ΩMF.

τὴν γῆν καὶ τὴν θάλατταν προσλάβωμεν, οὐκ ἂν πεισθείην. 2. *ΕΡΜ.* εὐφήμει, ὦ Ἄρες. οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας. *ΑΡ.* οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σέ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; ὃ δ' οὖν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ. μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες ἐπεβούλευον συνδῆσαι λαβόντες αὐτόν, ὡς παντοῖος ἦν δεδιώς, καὶ ταῦτα τρεῖς ὄντας· καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο αὐτῷ κεραυνῷ [καὶ βροντῇ]. ταῦτα λογιζομένῳ ἐπῄει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ. *ΕΡΜ.* σιώπα, φημί·

κἂν τὴν θάλ. BACΨ et v, sed καὶ τὴν θάλ. Δ𝔄ΩMF cum Hemsterhusio. quanquam κἂν ut et bene graecum et h. l. magis rhetoricum defendere licet. vide meas Quaestt. L. p. 107. θάλατταν 𝔄Ψ, θάλασσαν caeteri libri et v.

2. ὦ Ἄρες] ὦ ἄρη BACΔΨ. κακὸν] κακῶν Δ. ἀπολαύσομεν Ψ. ἄρης persona supra sed pr m F. ἂν ταῦτα] τοιαῦτα 𝔄, ταῦτα F. οὐχὶ (om δὲ) Ω, ἀλλ' οὐχὶ F. Lucianum talibus locis semper οὐχὶ δέ dixisse in prim. ed. p. 56 ostendi. ἐχεμυθεῖν] ἐχεμυθήσειν ΩMF. δ' οὖν F, γοῦν 𝔄 et v, γ' οὖν ACΔΨΩM. μάλιστα γελοῖον] γελοῖον μάλιστα Ψ. ἀκούοντι μεταξὺ] μεταξὺ ἀκούοντι 𝔄. σιωπῆσαι πρὸς σέ] πρός σε κρύψαι Δ. μέμνημαι γὰρ] σου εἰπόντος add F. καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ] καὶ ἥρα καὶ ἡ ἀθηνᾶ BAC, καὶ Ἥρα καὶ Ἀθηνᾶ 𝔄. ἐπεβούλευον BACΔΨd, ἐβούλευον 𝔄, ἐπεβούλευσαν ΩMF et v. συνδῆσαι BACΨΔ, ξυνδῆσαι 𝔄ΩMF et v. λαβόντες αὐτὸν BACΔ𝔄Ψ, αὐτὸν λαβόντες ΩMF et v. ἦν] ἣν A. καὶ εἰ μή γε libri omnes. quod praeterea in unico nostri l. exstat D. Marin. V, 2 (ubi tamen variatur). saepe autem in talibus L. dicit attice καὶ εἴ γε μή, ut in prima ed. p. 57 non male correxi idque nonnullis probavi. σύμμαχον βριάρεω BAC, Βριάρεω σύμμαχον 𝔄. ἑκατόνχειρα Ψ. κἂν ἐδέδετο ΩMF et v, καὶ ἐδέδετο 𝔄, ἐδέδετο ἂν Δ, κἂν ἐδέδετο ἂν BACΨ, quod e dittographia natum est. neque sanum videtur in Incerti Toxar. c. 30: κἂν ἐπὶ πολὺ ἠγνόησεν ἄν, ubi ἄν deleo. καὶ βροντῇ om BACΔΨ𝔄, recte ut arbitror. ἐπῄει μοι] μοι ἐπῄει 𝔄. libri καλλιρημοσύνῃ. *ΕΡΜ.*] Ἀρ. pr m F. σιώπα, εὐφήμει BACΨ𝔄Δ et v, sed σιώπα, φημί ΩF

οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

XXII.

269 ## * *ΠΑΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.*

1. *ΠΑΝ. Χαῖρε, ὦ πάτερ Ἑρμῆ. ΕΡΜ. καὶ σύ γε. ἀλλὰ πῶς ἐγὼ σὸς πατήρ; ΠΑΝ. οὐχ ὁ Κυλλήνιος Ἑρμῆς ὢν τυγχάνεις; ΕΡΜ. καὶ μάλα. πῶς οὖν υἱὸς ἐμὸς εἶ; ΠΑΝ. μοιχίδιός εἰμι, ἐξαίρετός σοι γενόμενος. ΕΡΜ. νὴ Δία, τράγου ἴσως τινὸς μοιχεύσαντος αἶγα. ἐμοὶ γὰρ πῶς, κέρατα ἔχων καὶ ῥῖνα τοιαύτην καὶ πώγωνα λάσιον καὶ σκέλη διχηλὰ καὶ τραγικὰ καὶ οὐρὰν*

---

verissime, ut in prima ed. p. 58 demonstravi. *εὐφήμει* sumtum est e superioribus: *εὐφήμει, ὦ Ἄρες.* *οὔτε σοι* (sine accentu) F. *οὔτ' ἐμοὶ* BA, *οὔτε ἐμοὶ* v.

XXII.

Πανὸς καὶ Ἑρμῆς h. l., sed in fine dialogi: *πανὸς καὶ ἑρμοῦ* A.

1. *ΠΑΝ.*] *Πανὸς* A. *νὴ καὶ σύ γε* 𝔄MF et v, sed *καὶ σύ γε* (om *νή*) BACΔΨΩ, recte. etiam in aliis hujusmodi locis ego (ad Fugitiv. 29) *νή* delevi. *οὐχ*] *οὐχ'* a. *κυλήνιος* 𝔄. *τυγχάνης* A. nova persona ante *πῶς οὖν* in A, sed in F linea rubra ante *πῶς οὖν* errorem personae a p m corrigit ideoque nihili est.

υἱὸς ἐμὸς] *ἐμὸς υἱὸς* 𝔄Δ, *υἱὸς* (om *ἐμὸς*) Ω. *ἐξ ἔρωτός* 𝔄ΨΩMF et v, sed *ἐξαίρετός* BAC (ita C) ΔVYd. Cobetus in adnot. ad Or. de art. int. p. 122 de vulgata: rectissime, inquit, neque cogitavit omnes mortales *ἐξ ἔρωτος* nec sane *ἐκ μίσους* nasci. at sicut Agamemnon Casandrae amator *ἔρωτ' ἐξαίρετον μαινάδος ὑπέστη* (Eurip. in Troad. v. 416), ita liberi in pellicatu nati recte dici possunt *ἐξαίρετοι*. ceterum integer senarius his verbis inest et paene integer proximis his: *ἦπου — ἔγωγε*, qui videri possunt continui fuisse: *ΠΑΝ. μοιχίδιός εἰμ', ἐξαίρετός σοι γενόμενος. ΕΡΜ. ἦπού* [*ποτ'*] *ἔλαθον αἶγα μοιχεύσας ἐγώ*; quae bene cadunt in Ararotis comoediam *Πανὸς Γοναί*, de qua Meinekius in Fragm. Com. III p. 275 sq. et haec quidem possunt minus vera esse: illud tamen manet, his ipsis deorum dialogis comoediae quoque graecae imitationem saepius contineri. denique alia hujus confusionis exempla Jacobsius dedit ad Achill. Tat. p. 500, in quibus ille quidem plerumque genuinum esse censet *ἐξ ἔρωτος*, non *ἐξαίρετος*. *ἴσως* om 𝔄ΩF. *αἶγα.*] *αἶγα*; BA. *ἐμοὶ* BACΨΩF, *ἐμὸς* 𝔄ΔM et v. dativi explicandi causa Ψ (post *πυγάς*) add: *υἱὸς ἀναπέφηνας.* ac

*ὑπὲρ τὰς πυγάς; ΠΑΝ. ὁπόσα ἂν ἀποσκώψῃς εἰς ἐμέ, τὸν σεαυτοῦ υἱόν, ὦ πάτερ, ἐπονείδιστον ἀποφαίνεις, μᾶλλον δὲ σεαυτόν, ὃς τοιαῦτα γεννᾷς καὶ παιδοποιῇ, ἐγὼ δὲ ἀναίτιος. ΕΡΜ. τίνα δὲ καὶ φῂς σου μητέρα; ἤπου ἔλαθον αἶγα μοιχεύσας ἔγωγε; ΠΑΝ. οὐκ αἶγα ἐμοίχευσας, ἀλλ' ἀνάμνησον σεαυτόν, εἴ ποτε ἐν Ἀρκαδίᾳ παῖδα ἐλευθέραν ἐβιάσω. τί δακὼν τὸν δάκτυλον ζητεῖς καὶ ἐπὶ πολὺ ἀπορεῖς; τὴν Ἰκαρίου λέγω Πηνελόπην. * ΕΡΜ. εἶτα τί παθοῦσα ἐκείνη ἀντ' ἐμοῦ τράγῳ* 270
σε ὅμοιον ἔτεκεν; 2. *ΠΑΝ. αὐτῆς ἐκείνης λόγον σοι ἐρῶ· ὅτε γάρ με ἐξέπεμπεν ἐπὶ τὴν Ἀρκαδίαν, ὦ παῖ, μήτηρ μέν σοι, ἔφη, ἐγώ εἰμι, Πηνελόπη ἡ Σπαρτιᾶτις· τὸν πατέρα δὲ γίγνωσκε θεὸν ἔχων Ἑρμῆν Μαίας καὶ Διός. εἰ δὲ κερασφόρος καὶ τραγοσκελὴς εἶ, μὴ λυπείτω σε. ὁπότε γάρ μοι συνῄει ὁ πατὴρ ὁ σός, τράγῳ ἑαυτὸν ἀπει-*

---

sane durum est, e superioribus longeque remotis *σοι γενόμενος* hic tacito supplere *ἐγένου*. hinc praefero vulgatam *ἐμός* cum Cobeto l. l. p. 122. *γὰρ πῶς*] *γὰρ πῶ* A, *γὰρ ἂν σὺ πῶς* 𝔄. *ῥῖνα* A. *καὶ πώγωνα λάσιον*] haec in marg. C. *διχηλὰ* AC𝔄ΨΩMFabcd, *δίχηλα* edd. novitiae, *διχαλὰ* B solus forma dorica, quam Dindorfius p. XX tribuit Luciano. *ὁπόσα* BACΨΔTYd, *ὅσα* 𝔄ΩMF et v.
ἀποσκώψῃς με BACΨΔ, *ἀποσκώψῃς ἐμὲ* F, *σκώψῃς ἐμὲ* 𝔄, *ἀποσκώψῃς εἰς ἐμὲ* ΩM et v. vulgatam ob duas causas revocavi. ceterum eadem sententia legitur in nostri Gallo c. 19 med. et in Aristoph. Pac. v. 651 sqq. *ἀποφαίνῃ* ΩMFabc, *ἀποφαίνεις* BACΔΨTYd, *ἀποφανεῖς* 𝔄 solus. cf. Gallum c. 19. *μᾶλλον δὲ*] *δὲ* om ΩF. *ὃς*] *ὃς ὃς* A, *ὡς* ΩMF. libri *παιδοποιεῖς*, sed recte Dindorfius *παιδοποιῇ*, post Cobetum, qui in V. L. p. 81 et p. 228 corrigebat *παιδοποιεῖ*. nova persona ante *ἐγὼ δὲ* in A, qui *ΕΡΜ.* post *ἀναίτιος* om. *τίνα δὲ καὶ* Δ𝔄M et v, *τίνα δὲ* Ω, *τίνα καὶ* F, *ἥντινα δὲ καὶ* AC, *ἥντινα καὶ* BΨ. *ἦπου* A et v, *ἤπου* CF, *μήπου* ΔX. *μοιχεύσας αἶγα* F. *ἔγωγε* om 𝔄. *ἀλλ'*] *ἀλλὰ* Ψ. *ἐπὶ πολὺ* B, *ἐπιπολὺ* A et v. *ἱκαρίου* A. *Πηνελόπην*] *τὴν Πηνελόπην* F. *ἐμοῦ*] *ἐμοῦ παῖδα* F.
2. *ἐπὶ τὴν Ἀρκαδίαν*] *ἀπὸ τῆς Ἀρκαδίας* Ψ solus. *μέν σοι* BAC𝔄ΔΨ, *μέν σου* ΩMF et v. *ἔφη* om Δ. *ἔφη, ἐγὼ*] *ἐγώ, ἔφη* ΩMF. *Πηνελόπη ἡ Σπαρτιάτις* BACΨ et v, pro his *ἡ Πηνελόπη* (caetera om) 𝔄, sed *Πηνελόπη Σπαρτιάτις* ΩF. accentum Poppo correxit. *γίγνωσκε* Dindorfius pro *γίνωσκε* (*γίνοσκε* a). *ἑρμῆν μαίας* BΨΩFa et pr m M, *ἑρμῆν, μαίας* AC, *ἑρμῆν τὸν μαίας* Δ𝔄

κασεν, ὡς λάθοι, καὶ διὰ τοῦτο ὅμοιος ἀπέβης τῷ τράγῳ. *ΕΡΜ.* *νὴ Δία, μέμνημαι ποιήσας τοιοῦτόν τι. ἐγὼ οὖν*
271 *ὁ ἐπὶ * κάλλει μέγα φρονῶν, ἔτι ἀγένειος αὐτὸς ὢν σὸς πατὴρ κεκλήσομαι καὶ γέλωτα ὀφλήσω παρὰ πᾶσιν ἐπὶ τῇ εὐπαιδίᾳ;* 3. *ΠΑΝ.* *καὶ μὴν οὐ καταισχύνω σε, ὦ πάτερ· μουσικός τε γάρ εἰμι καὶ συρίζω πάνυ καπυρόν· καὶ ὁ Διόνυσος οὐδὲν ἐμοῦ ἄνευ ποιεῖν δύναται, ἀλλ' ἑταῖρον καὶ θιασώτην πεποίηταί με, καὶ ἡγοῦμαι αὐτῷ τοῦ χοροῦ. καὶ τὰ ποίμνια δὲ εἰ θεάσαιό μου, ὁπόσα περὶ Τεγέαν καὶ ἀνὰ τὸ Παρθένιον ἔχω, πάνυ ἡσθήσῃ· ἄρχω δὲ καὶ τῆς Ἀρκαδίας ἁπάσης. πρῴην δὲ καὶ Ἀθη-*
272 *ναίοις συμμαχήσας οὕτως ἠρίστευσα * Μαραθῶνι, ὥστε καὶ ἀριστεῖον ᾑρέθη μοι, τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον. ἢν γοῦν ἐς Ἀθήνας ἔλθῃς, εἴσῃ ὅσον ἐκεῖ τοῦ Πανὸς*

---

et sec m M et v. *τραγοσκέλης* BA. *ὁπότε* 𝔄ΩMF et v, *ὡς ὅτε* AC et (ubi *ο* in lit.) B, *ὡς τότε* Ψ. *μοι συνῄει* BACΨΔ, *συνῄει μοι* ΩMF, *μοι συνείη* d, *μοι συνῆν* 𝔄 (diserte) et v. de h. l. Cobetus adnot. ad or. p. 123 bene judicat. *λάθοι*] *λάθῃ* 𝔄Ψ.

διατοῦτο BAF. *τοιοῦτόν τι* BACΨ, *τοιοῦτό τι* Δ, *τι τοιοῦτον* ΩMF et v, *τι τοιόνδε* 𝔄. *οὖν*] *γοῦν* Ω. *ἔτι*] *εἶτ'* 𝔄, *εἶτα* ΩMF. *αὐτὸς ὢν*] *ὢν αὐτὸς* Ψ, *ὢν* (om *αὐτὸς*) F. *παρὰ πᾶσιν* om 𝔄, *περὶ πᾶσιν* habent bcd.

3. *καταισχύνω* 𝔄 (ut videtur), cum Cobeto V. L. p. 228 et Dindorfio, *καταισχυνῶ* caeteri libri et v. ego quoque adolescens *καταισχύνω* malueram locis geminis coacervatis, in quibus omnibus Praesens legitur. sed in ed. postea Futurum reliqui idemque Bekker reliquit. frustra. *λιγυρὸν* AC𝔄F et ‚quidam libri' Bourdelοti, *καπυρὸν* ΨM, *καπυρὸν* (*λιγυρὸν* supra) ΔB (in textu et scholio) Ω et v. scholium illud (T. IV p. 61 ed. Jac.), cui aliud simile Bourdelotius viderat, initio sic legendum est: *τὸ τραχὺ καὶ ἄγροικον τοῦ συρίγματος καπυρὸν εὐφήμως ἐκάλεσεν* —, in fine aliquid deest: *ἡδὺ δὲ τὸ καπυρὸν ὡς δὴ . . ἀπὸ τῆς πεμμάτων ἐδωδῆς.* eandem rem clarius dixit scholiasta ad Theocrit. VII, 37 *καπυρόν: ἡδὺ μεταφορικῶς. τὰ γὰρ ἔξοπτα τῶν ἐδεσμάτων ἡδύνει τὴν γεῦσιν.* et sane *καπυρός*, ubi est ‚suavis' poni videtur metaphora ab esculentis sumta; certe Antiphanes c. ap. Athen. III p. 96, b ita loquitur: *χοιρίων σκέλη καπυρά.* itaque h. l. *λιγυρόν*, quod potius est ‚stridulum sonorum', ne aptum quidem est glossema. habet autem vox *καπυρός* in hoc Luciani dicto et in Theocriteo illo VII, 37 vim potestatemque communem: ut in utriusque loci scholiis nemo mirari possit

ὄνομα. 4. ΕΡΜ. εἰπὲ δέ μοι, γεγάμηκας, ὦ Πάν, ἤδη; τοῦτο γάρ, οἶμαι, καλοῦσί σε. ΠΑΝ. οὐδαμῶς, ὦ πάτερ· ἐρωτικὸς γάρ εἰμι καὶ οὐκ ἂν ἀγαπήσαιμι συνὼν μιᾷ. ΕΡΜ. ταῖς οὖν αἰξὶ δηλαδὴ ἐπιχειρεῖς. ΠΑΝ. σὺ μὲν σκώπτεις, ἐγὼ δὲ τῇ τε Ἠχοῖ καὶ τῇ Πίτυϊ σύνειμι καὶ ἁπάσαις ταῖς τοῦ Διονύσου Μαινάσι καὶ πάνυ σπουδάζομαι πρὸς αὐτῶν. ΕΡΜ. οἶσθα οὖν, ὦ τέκνον, ὅ τι χαριῇ τὸ πρῶτον αἰτοῦντί μοι; ΠΑΝ. πρόσταττε, ὦ πάτερ. ΕΡΜ. ἡμεῖς μόνοι εἰδῶμεν

---

communem adferri explicationem. ὁ Διόνυσος] ὁ om 𝔄ΩF. ἄνευ] ἄτερ 𝔄. ἀλλ' ΔΩF, ἀλλὰ caeteri libri et v. πεποίηταί με BACΔΨΩMF, ἐμὲ πεποίηται 𝔄, πεποίηκέ με edd. vett. ἡγοῦμαι] δὲ add F. ὁπόσα] ὅσα Ω, ὅσα τε F. Τεγέαν Poppo, τέγεαν AF et v, πεταίαν Δ. καὶ ἀνὰ τὸ Παρθένιον ἔχω om 𝔄, habent καὶ caeteris omissis ΩF. ἄρχω] ἐξάρχω ΩMF. μαραθῶνι BACΨΩΔ, ἐν Μαραθῶνι 𝔄M et v. ἡρέθη BΔ𝔄ΨCΩM et v, ἠρέθη AFa, ᾑρέθη d. non dubito, quin literae εξ evanuerint. Cobetus adnot. ad or. p. 123: ‚non aliter quam ἐξῃρέθη potest graece dici'. comprobavit Bekker. et sic quum caeteri loquuntur, tum ipse Lucianus in Verr. Hist. II, 23: ἐξῃρέθη αὐτῷ ἀριστεῖον. ἐς BACΨ et v, εἰς 𝔄ΩMF. ἀθῆνας BA. ὄνομα] τὸ ὄνομα MF.

4. εἰπὲ δέ μοι haec om 𝔄. εἰπὲ δή μοι habet M. Πάν] πᾶν F. συνὼν] ξυνὼν A. ταῖς οὖν αἰξὶ BAC𝔄Ψd, ταῖς γοῦν αἰξὶ F, ταῖς οὖν γυναιξὶ Δ (ita Δ), ταῖς αἰξὶ Ω et v. ἐπιχειρεῖς BACΔΩFVTRY, ἐπιχαίρεις 𝔄, ἐπιχορεῖς d, ἐποχεῖσθαι με (sic) Ψ, ἐπιβαίνεις M et v. σὺ μὲν om Ω. Ἠχοῖ] ἠχοῖ F. Πίτυϊ BACΔ𝔄ΨΩMF et v, Πυθοῖ VTRUd, unde Hemsterhusius dubitanter Πειθοῖ conjecit. vulgatae favent Longus II, 39 aliique. ὦ τέκνον, ὅ τι χαρίσῃ BACΔΨ, ὦ τέκνον, ὅτι μοι χαρίσῃ 𝔄ΩMF, ὅ τι χαρίσῃ, ὦ τέκνον v. χαρίσῃ libri omnes. at bene Poppo χαριῇ attice, ut noster consuevit. χάρισαι legebat Cobetus ad or. p. 123 et V. L. p. 101 sq. probante Bekkero, non male. vide quae dixi ad Hermotim. 63. τὸ πρῶτον BACΔΨΩM (ita M, γρ τῶ), τὸ πρῶτον (τῶ supra pr m) F, πρῶτον 𝔄, ταπρῶτα v. μοι om 𝔄MF. ταῦτα. ΕΡΜ.] ita 𝔄ΨΩ et v (fortassis etiam BC), sed ΕΡΜ. ταῦτα M (ita M), denique πάτερ. ἑρμ. FY et (ubi pro ἑρμ. signum personae) A (omisso in his omnibus ἑρμ. post ταῦτα), id quod unice verum est. ita Croesus in Charone c. 12 haec tantum dicit: ἐρώτα, ὦ Σόλων, nihil praeterea. ἡμεῖς δὲ ἴδωμεν ταῦτα. vulgo, ἵνα ἡμεῖς δῶμεν ταῦτα 𝔄 et qui ἵν' pro ἵνα Ω, ἵν' ἡμεῖς δῶμεν. ΕΡΜ.

ταῦτα. καὶ πρόσιθί μοι καὶ φιλοφρονοῦ, πατέρα δὲ ὅρα μὴ καλέσῃς με ἀκούοντός τινός.

XXIII.

273 * *ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΔΙΟΝΥΣΟΥ.*

1. *ΑΠ. Τί ἂν λέγοιμεν; ὁμομητρίους, ὦ Διόνυσε, ἀδελφοὺς εἶναι Ἔρωτα καὶ Ἑρμαφρόδιτον καὶ Πρίαπον, ἀνομοιοτάτους ὄντας τὰς μορφὰς καὶ τὰ ἐπιτηδεύματα; ὁ μὲν γὰρ πάγκαλος καὶ τοξότης καὶ δύναμιν οὐ μικρὰν*

ταῦτα M, *ἵν' ἡμεῖς μὲν εἰδῶμεν ταῦτα* F, sed *ἡμεῖς μὲν ἴδωμεν ταῦτα* BACΨΔ, denique pro *ἴδωμεν* etiam T *εἰδῶμεν* et *ἰδῶμεν* Y. ergo optimi codices habent: *ἡμεῖς μὲν ἴδωμεν* (vel *εἰδῶμεν*) *ταῦτα*, in quo *μέν* non minus absurdum est quam *δέ* in vulgata. sed quum *μέν* et *μόνον* saepe in codd. scirem confundi, locum ita restitui: *ἡμεῖς μόνοι εἰδῶμεν ταῦτα*, h. e. absit omnis conscius! (das muss ganz unter uns bleiben!) quae emendatio gemino loco confirmatur D. Mort. XIII, 5: *ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι*, quae sunt sanissima. *παραλείψεως* enim figura noster usus est, qui directam censuram futuram sibi esse videret invidiosam et ea ipsa nihilo minus dixit quasi praetermittens. sed ut ad nostrum l. revertar, verba *ἡμεῖς δὲ ἴδωμεν ταῦτα* non videri integra jam Hemsterhusius optime judicavit. postea G. Hermannus *ἡμεῖς δὲ εἰδῶμεν ταῦτα* conjecit (his verbis in ipso fine dialogi positis), Cobetus autem ad or. p. 123 probante Bekkero: *ἡμεῖς μὲν εἰδῶμεν ταῦτα* scribi voluit. adeo *μέν* ineptum esse unus perspexerat Hermannus. alias conjecturas, quae neque terram neque coelum tangunt, omitto.
καὶ πρόσιθι] *καὶ προΐθι* BAΔ, *πρόσιθι* (om *καὶ*) 𝔄, *ποίει καὶ πρόσιθι* ΩMF. *μοι* om Ω solus (non item MF). *ὅρα* libri omnes, quod Cobetus ad or. p. 123 temere ejecit. vide vel supra D. D. VIII med. *ἀκούοντός τινος* BAΔ𝔄Ψ(C), *ἀκούοντός γέ τινος* vulgo *ἄλλου ἀκούοντος* ΩMF.

XXIII.

1. *ὁμομ. ὦ Δ.*] *ὦ Διόνυσε ὁμομητρίους* 𝔄. *εἶναι* ΔVM et v, sed om *εἶναι* AC, pro eo habent *ὄντας* B𝔄ΨΩFa. et h. l. *ὄντας Ἔρωτα* mox autem *ἀνομοιοτάτους εἶναι* auctore Cobeto adnot. ad or. p. 123 Bekker male edidit. *καὶ Ἑρμ.*] *καὶ* om Ω. *Πρίαπον*] *πρίαμον* (π) B, *πρίαμον* A, *Πρίηπον* 𝔄 hic et infra. vide Meinekium ad Theocr. I, 21. *ἀνομοιοτάτους* ΔΩMF, *ἀνομοίους* BAC𝔄Ψ et v. hinc (*οὕτως* addito) scripserim: [*οὕτως*] *ἀνομοίους ὄντας*. *ὄντας* BACΨΔM et v, *εἶναι* 𝔄ΩF. *πάγκαλος*] *παγκαλλος* (sic) 𝔄,

περιβεβλημένος ἁπάντων ἄρχων, ὁ δὲ θῆλυς καὶ ἡμίανδρος καὶ ἀμφίβολος τὴν ὄψιν, οὐδ' ἂν διακρίναις, εἴτ' ἔφηβός ἐστιν εἴτε καὶ παρθένος, ὁ δὲ καὶ πέρα τοῦ εὐπρεποῦς ἀνδρικὸς ὁ Πρίαπος. ΔΙΟ. μηδὲν θαυμάσῃς, ὦ Ἄπολλον· οὐ γὰρ Ἀφροδίτη αἰτία τούτου, ἀλλ' οἱ πατέρες διάφοροι γεγενημένοι· ὅπου γε * καὶ ὁμο- 274
πάτριοι πολλάκις ἐκ μιᾶς γαστρὸς ὁ μὲν ἄρρην, ἡ δὲ θήλεια, ὥσπερ ὑμεῖς, γίγνονται. ΑΠ. ναί· ἀλλ' ἡμεῖς ὅμοιοί ἐσμεν καὶ ταὐτὰ ἐπιτηδεύομεν· τοξόται γὰρ ἄμφω. ΔΙΟ. μέχρι μὲν τόξου τὰ αὐτά, ὦ Ἄπολλον· ἐκεῖνα δὲ οὐχ ὅμοια, ὅτι ἡ μὲν Ἄρτεμις ξενοκτονεῖ ἐν Σκύθαις, σὺ δὲ μαντεύῃ καὶ ἰᾷ τοὺς κάμνοντας. ΑΠ. οἴει γὰρ τὴν ἀδελφὴν χαίρειν τοῖς Σκύθαις, ἥ γε καὶ παρεσκεύασται, ἤν τις Ἕλλην ἀφίκηταί ποτε ἐς τὴν Ταυρικήν, συνεκπλεῦσαι μετ' αὐτοῦ, μυσαττομένη τὰς σφαγάς; 2. ΔΙΟ. εὖ γε ἐκείνη ποιοῦσα. ὁ μέντοι Πρίαπος (γελοῖον γάρ τί σοι διηγήσομαι, πρῴην ἐν Λαμψάκῳ γενόμενον,) ἐγὼ μὲν παρῄειν τὴν πόλιν, ὁ δὲ ὑποδεξάμενός με καὶ ξενίσας παρ' αὐτῷ, ἐπειδὴ ἀνεπαυσάμεθα

πάγκαλος ἔρως ΩMF. libri οὐκ ἄν. dudum correxi οὐδ' ἂν sublato asyndeto. διακρίναις] διακρίνειας X, διακρίνας a. εἴτε καὶ] καὶ om 𝔄. γὰρ Ἀφροδίτη BACΔ (ita CΔ) 𝔄Ψ, γὰρ ἡ Ἀφροδίτη ΩMF et v. τούτου] τούτων 𝔄Δ. ἀλλ' οἱ ΔΩM, ἀλλὰ οἱ BAC𝔄Ψ et v. καὶ (post ὅπου γε) om BACΔ. ἄρρην ὁ Dindorfius pro ἄρσην. ἡ δὲ] ὁ δὲ BA, ἡ δὲ Ψ. γίγνονται.] libri γίνονται. ἀλλ'] ἀλλὰ 𝔄. ὅμοιοι μὲν ἐσμὲν Δ et (ubi μὲν in lit.) B. ταὐτὰ BACΨ, τὰ αὐτὰ Δ𝔄ΩMF et v. ἐκεῖνα δὲ] ἐκεῖνα μέντοι ΩF. οὐχ] οὐχ' a ut solet. ξενοκτονεῖ codd. omnes, ξενοκτενεῖ edd. vett. ἰᾷ] θεραπεύεις ΩF et pr m M (sec m: ἰᾷ). ἀπο$^{\lambda\lambda'}$ (super οἴει) add m sec F. παρεσκεύασται] παρεσκεύαστο ΩMF. ποτε om 𝔄. ἐς] εἰς ΩF.

2. ΔΙΟ. add sec m F. μέντοι BACΔ𝔄ΨΩMF, μὲν γάρ τοι edd. vett. Λαμψάκῳ] λαμψακῶ F. γενόμενον Cobetus adnot. ad or. p. 123 (et iterum in V. L. p. 143, ubi bene comparat Adv. Indoct. 8 init., adde ibid. c. 11 init.), verissime. libri γενόμενος, quod hic ne ad Bacchum quidem referre licet, nedum ad Priapum. ἐγὼ μὲν] haec om 𝔄. παρῄειν libri omnes, recte, si Priapi sacellum extra urbem situm erat. Bekker περιῄειν conjiciebat.

ἐν τῷ συμποσίῳ ἱκανῶς ὑποβεβρεγμένοι, κατ' αὐτάς που μέσας νύκτας ἐπαναστὰς ὁ γενναῖος, αἰδοῦμαι λέγειν. ΑΠ. ἐπείρα σε, Διόνυσε; ΔΙΟ. τοιοῦτόν ἐστι. ΑΠ. σὺ δὲ τί πρὸς ταῦτα; ΔΙΟ. τί γὰρ ἄλλο ἢ ἐγέλασα; ΑΠ. εὖ γε, τὸ μὴ χαλεπῶς μηδὲ ἀγρίως· συγγνωστὸς γάρ, εἰ καλόν σε οὕτως ὄντα ἐπείρα. ΔΙΟ. τούτου μὲν ἕνεκα καὶ ἐπὶ σὲ ἄν, ὦ Ἄπολλον, ἀγάγοι τὴν * πεῖραν· καλὸς γὰρ καὶ σὺ καὶ κομήτης, ὡς κἂν νήφοντα ἔτι σοι

παρ' αὐτῷ B(𝔄ΨΩ), παρ' αὐτῷ caeteri libri et v. ἱκανῶς ὑποβεβρεγμένοι] haec om Ψ, habent ἱκανῶς ὑποβεβρεγμένος ΩF et pr m M. κατ'] περὶ ΩMF. μέσας τὰς νύκτας d. αἰδοῦμαι λέγειν BACΨ𝔄Δ, αἰδοῦμαι δὲ λέγειν ΩMF et v. ἐπείρα σε] ἐπείρασε AC, ἐπείρασέ σε (προσέβαλεν) F, ἐπείρασεν M. Διόνυσε om v, sed add BACΨΩ, ὦ Διόνυσε 𝔄MF. ΔΙΟ. personam om 𝔄MF. τοιοῦτόν ἐστι] τοιοῦτός ἐστι (ἐστιν F) 𝔄ΩMF. ΑΠ. σὺ] personam om 𝔄. et (cum vacuo spatio et linea rubra) F. ἐπείρα — ἐγέλασα] haec om Δ (ut videtur). εὖ γε τὸ] εὖ τὸ 𝔄Ω, εὖ, τῷ F. sed M add glossam: ἐνεγκεῖν δηλ. integrum scholium est in B: προσυπακούεται τὸ ἐνεγκεῖν· ἠθικὰ δὲ ταῦτα, μᾶλλον δὲ κωμικά. μηδὲ] μηδ' Δ. συγγνωστὸς γάρ, εἰ καλόν 𝔄ΩMF et v, συγγνωστός σοι γὰρ καλόν B, συγγνωστός σοι, καλὸν γάρ ACΨΔ. τούτου μὲν BACΔ (ita CΔ) 𝔄ΨF, τούτου μὲν οὖν ΩM et v. vulgatam Cobetus adnot. ad or. p. 123 probabat. καὶ ἐπὶ σὲ ἂν 𝔄 (diserte) ΨΩMF et v, καὶ ἐπὶ σέ (om ἂν) BACΔ. hinc Cobetus l. l. κἂν ἐπὶ σέ conjecit probante Bekkero: quod verum esse nequit, si κἂν paullo post bene restitutum est. ἀγάγοι] ἐνέγκοι 𝔄. πεῖραν] πείραν B. καλὸς γὰρ καὶ σὺ καὶ κομ. 𝔄 (diserte) cum Cobeto l. l. p. 124, quod recepi; καλὸς γὰρ σὺ καὶ κομ. ΩMF et v, sed καλὸς γὰρ καὶ κομ. BACΔΨ. e Cobeti emendatione patet, quomodo σύ interciderit. ὡς καὶ νήφοντα ἄν σοι ΩMF et v, ὡς καὶ νήφοντα (om ἄν σοι) 𝔄, ὡς νήφοντά σοι ἔτι d, ὡς καὶ νήφοντά σε ἔτι ACΨ, ὡς καὶ νήφοντά σοι ἔτι BΔ (ita Δ). hinc rescripsi: ὡς κἂν νήφοντα ἔτι σοι ducibus Cobeto l. l. p. 124 et Dindorfio. ac primum ἔτι refertur ad superiora c. 2 init: ἱκανῶς ὑποβεβρεγμένοι. deinde illud quoque κἂν νήφοντα est aptissimum. confer Terent. Eunuch. III, 2, 26. τὸν Πρίαπον] τὸν om ΨF soli. ἀλλ'] ἀλλὰ BAΨ. οὐκ ἂν ἐπιχειρήσῃ 𝔄, οὐκ ἐπιχειρήσει γε ΩMF et v, οὐκ ἐπιχειρήσει BACΔΨ, recte. nam γέ ita demum recte positum esset, si nova plane notio accederet, sicut in Timone 58: ΤΙΜ. ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς —. καὶ τόξα] καὶ τὰ τόξα 𝔄F soli.

τὸν Πρίαπον ἐπιχειρῆσαι. ΑΠ. ἀλλ' οὐκ ἐπιχειρήσει, ὦ Διόνυσε· ἔχω γὰρ μετὰ τῆς κόμης καὶ τόξα.

XXIV.

ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

1. ΕΡΜ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς
ἀθλιώτερος ἐμοῦ; ΜΑΙ. μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον
μηδέν. ΕΡΜ. τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω
μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώ-
μενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπό-
σιον δεῖ, καὶ διαστρώσαντα τὴν κλισίαν εὐθετίσαντα
ἕκαστα παρεστάναι τῷ Διῒ καὶ διαφέρειν τὰς ἀγγελίας
παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα, καὶ ἐπανελ-
θόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· πρὶν
δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ
ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς
καθεύδω * μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ 276

XXIV.

‚Hic Dialogus omnino turbatus in MSS.' Bourdelotius. at solito majores turbae in meis codd. nullae sunt. quanquam in eis codd., qui post hunc dialogos deorum finiunt, festinante calamo majores existere turbae potuerunt. et in universum, id quod Cobetus in adnot. ad or. p. 122 optime divinarat, Deorum Dialogos gravius etiam aliis Luciani libris per tot scribas adflictos esse mei codices nunc certo demonstrant.

1. ὦ μῆτερ om Ω. ἐμοῦ] μου ΩF. τοιοῦτον] τοιοῦτο F. μηδέν. ΕΡΜ. τί μὴ 𝔄ΩMF et v; μηδὲ (μὴ δὲ A) ἕν τι (τί A). ΕΡΜ. (persona in A) μὴ BACΔΨd. non debebat Bekker τί delere, quod et libri omnes tuentur et locus geminus in D. Meretr. XII, 4. ἕωθεν μὲν] μὲν om ΩF. ἐξαναστάντα] ἐξαναστὰς 𝔄. σαίρειν] αἴρειν B. τὸ συμπόσιον δεῖ] δεῖ τὸ συμπόσιον 𝔄ΩMF. τὴν κλισίαν BACΔΨ, τὴν ἐκκλησίαν ΩMF et v, τὰς κλίνας 𝔄 solus. εὐθετίσαντα ἕκαστα BCΨ, εὐθετήσαντα ἕκαστα Δ, εὐθετίσαντά τε ἕκαστα A𝔄, εἶτα εὐθετήσαντα ἕκαστα vulgo, εἶτα εὖ (lacuna) τὰ ἕκαστα Ω, εὖ, εἶτα ἔχοντα ἕκαστα F. in prima edit. isto εἶτα bene rejecto voculam τε addideram, qua vix opus est. διαφέρειν] διαφορεῖν 𝔄. παρ' αὐτοῦ BAΔ𝔄Ψ, τὰς παρ' αὐτοῦ ΩMF et v. (de C non constat). ἔτι] ἤδη ΩF et pr m M. κεκονισμένος fortasse V solus. vide Cobetum V. L. p. 130. νεώνητον] νεόκτητον 𝔄. τοῦτον om Ω. τῷ δικαστηρίῳ] ἐν τῷ

Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι καὶ παρ-
εστάναι τῷ δικαστηρίῳ. οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέ-
ρας ἔργα, ἐν παλαίστραις εἶναι κἀν ταῖς ἐκκλησίαις
κηρύττειν καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ' ἔτι καὶ νεκρικὰ
συνδιαπράττειν μεμερισμένον. 2. *καίτοι τὰ μὲν τῆς*
Λήδας τέκνα παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν
ᾅδου εἰσίν, ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν κἀκεῖνα καὶ
ταῦτα ποιεῖν ἀναγκαῖον, καὶ οἱ μὲν Ἀλκμήνης καὶ
Σεμέλης, ἐκ γυναίων δυστήνων γενόμενοι εὐωχοῦνται
ἀφρόντιδες, ὁ δὲ Μαίας τῆς Ἀτλαντίδος διακονοῦμαι
αὐτοῖς. καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ
τῆς Κάδμου θυγατρὸς, ἐφ' ἣν πέπομφέ με ὀψόμενον
ὅ τι πράττει ἡ παῖς, μηδ' ἀναπνεύσαντα πέπομφεν
277 *αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν* * *Δανάην, εἶτ'*
ἐκεῖθεν ἐς Βοιωτίαν, φησὶν, ἐλθὼν ἐν παρόδῳ τὴν

δικαστηρίῳ M, *ἐν δικαστηρίῳ Ω.* *κἂν ταῖς*] *καὶ ταῖς* BACΔΩ. *ἐκδιδάσκειν* libri omnes, etiam F, ubi *ἐκ* supra est sed a pr m. *ἀλλ' ἔτι καὶ*] *ἀλλὰ ἔτι καὶ Ω*M, *ἀλλὰ καὶ ἔτι, καὶ* F. *συνδιαπράττειν* [*δεῖ*] malim supplere addito *δεῖ*, quod etsi jam supra bis positum est, hic tamen deesse nequit.

2. *ἑκάτερος* om F, pro quo *ἕκαστος* 𝔄. *ἐν οὐρανῷ ἢ ἐν ἅδου* BACΔ𝔄ΨΩ, *ἐν οὐρανῷ καὶ ἐν ᾅδου* MF (ita F) et v. *κἀκεῖνα καὶ ταῦτα* BACΔ𝔄Ψ, *καὶ ταῦτα κἀκεῖνα Ω*MF et v. *οἱ — Σεμέλης* Matthiae, *οἱ — Σεμέλης υἱοὶ Ψ*, *ὁ — Σεμέλης* (om *υἱὸς*) *Δ* (ita *Δ*), *ὁ — Σεμέλης υἱὸς* AC (ita C) 𝔄ΩMF edd. vett. et in textu ipse B, sed idem in marg: *ὁ Ἡρακλῆς καὶ ὁ Διόνυσος.* libri *γυναικῶν*, sed Burmeister Quaestt. crit. p. 42 *γυναίων* verissime.

τῆς Ἀτλαντίδος BACΔ𝔄Ψ, *τῆς Ἄτλαντος Ω*MF et v. *νῦν ἄρτι ἥκοντά* 𝔄ΩMF et v, *νῦν ἥκοντά* (om *ἄρτι*) *Δ* (ita *Δ*), *νῦν ἄρ ἥκοντά* A, *νῦν ἄρ' ἥκοντά* BΨ. *Σιδῶνος*] *Σιδόνος* 𝔄. *παρὰ*] *περὶ Ψ.* *τῆς Κάδμου θυγατρὸς* libri omnes, *τῆς Κάδμου ἀδελφῆς* Guyetus probante Abreschio in Lectt. Aristaen. p. 228 sq., qui *θυγατρός* primo ad superius *τῆς Ἄτλαντος* et postea oculo errante ad *τῆς Κάδμου* conjecit adscriptum fuisse. at hodie scimus *τῆς Ἀτλαντίδος* lectionem esse antiquam, ita ut Abreschi divinatio ruat. et hic quidem sane sermo est de Europa, sed ante hanc inter alias Jovis amasias etiam Semele Cadmi filia memorata est. hinc ille error non scribarum, sed ut optime Hemsterhusius, ipsius Luciani.

ὅ τι πράττει] *τι πράττει* (sic) 𝔄. *μηδ' Δ*, *μηδὲ* (vel *μὴ δὲ*) caeteri et v. *ἐς τὸ*] *εἰς τὸ Ω*M. *τὴν Δανάην*] *τὴν* om *Δ*.

Ἀντιόπην ἰδέ. καὶ ὅλως ἀπηγόρευκα ἤδη. εἰ γοῦν δυνατὸν ἦν, ἡδέως ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες. ΜΑΙ. ἔα ταῦτα, ὦ τέκνον. χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ νεανίαν ὄντα. καὶ νῦν ὥσπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβῃς· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

XXV.

ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ.

1. ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε. ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, * μειρακίῳ ἀνοήτῳ 278
πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθεὶς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε. καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων

εἶτ'] εἶτα 𝔄. ἐς Βοιωτ.] εἰς Βοιωτ. ΩMF. φησὶν, ἐλθὼν ἐν παρόδῳ] φησὶν om Ψ, sed ἐλθών φησιν ἐν παρόδῳ 𝔄, φησὶν ἐν παρόδῳ ἐλθὼν Δ. ἴδε A solus, ἰδὲ caeteri cum scholiis, quorum partim habet Jacobitius IV p. 62. εἰ γοῦν δυνατὸν ἦν ΒΑΨ, εἰ γοῦν μοι δυνατὸν ἦν 𝔄 et v, εἰ γοῦν μοι δυνατὸν (om ἦν) ΩF. πεπράσθαι Fabc. ὥσπερ — δουλεύοντες] ὥσπερ ἐν τῇ γῇ οἱ δουλεύοντες Ω. ἔα ταῦτα] ταῦτα om Ω, sed μὴ λέγε ταῦτα 𝔄. πάντα] ταῦτα F. καὶ νῦν ὥσπερ] καὶ σὺ ὥσπερ 𝔄. ἐπέμφης F. ἐς Ἄργος] εἰς Ἄργος 𝔄ΩMF. ἐς τὴν] εἰς τὴν ΩF (non 𝔄M).
μὴ καὶ] καὶ om ΒΔΨ. λάβῃς BACΔ𝔄ΨΩMF, λάβοις edd. vett.

XXV.

Hic dialogus cum eo qui sequitur volumine secundo ante Cynicum leguntur in abcd. ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ] Ζεύς. Ἥλιος B, Ζεὺς Ἥλιος (in subscriptione ἥλιος) A, Ζεὺς καὶ Ἥλιος abc.

1. ΖΕΥΣ. οἷα — χρήσαιτο αὐτοῖς.] pro his lacuna est in M. ἀνοήτῳ om 𝔄. ὑποκρύους A. ἐποίησε] ἐποίησεν Ω. συνετάραξε 𝔄 ut videtur. συνέχεε ΑΔ𝔄. εἰ μὴ ἐγὼ] εἴ γε μὴ 𝔄, εἰ μὴ (om ἐγὼ) Δ. συνεὶς 𝔄. γινόμενον ΑΩ. κατέβαλον] κατέλαβον Ω. αὐτὸν] αὐτὸ 𝔄. ἔτι ἔμεινεν 𝔄, ἐπέμεινεν caeteri libri et v, quod Cobetus V. L. p. 228 bene improbavit.
ἡμῖν τὸν καλὸν ἐκεῖνον ἡνίοχον Bekker, ἡμῖν τὸν καλὸν ἡνίοχον ἐκεῖνον Ψ, ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον A, ἡμῖν τὸν καλὸν ἡνί-

ἔτι ἔμεινεν ἄν· τοιοῦτον ἡμῖν τὸν καλὸν ἐκεῖνον ἡνίοχον
καὶ διφρηλάτην ἐκπέπομφας. ΗΛ. ἥμαρτον, ὦ Ζεῦ.
ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι·
πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;
ΖΕΥΣ. οὐκ ᾔδεις, ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα,
καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα;
ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμὸν, καὶ ὡς δεῖ ξυνέ-
χειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν
εὐθύς· ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν
ἐπὶ τὰ λαιὰ, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιὰ, καὶ ἐς τὸ
ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω καὶ ὅλως
ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο
αὐτοῖς. 2. *ΗΛ. πάντα μὲν ἠπιστάμην ταῦτα καὶ διὰ*
279 *τοῦτο ἀντεῖχον ἐπὶ πολὺ καὶ οὐκ * ἐπίστευον αὐτῷ τὴν*
ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ
Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα
ὑπεθέμην, ὅπως μὲν χρὴ βεβηκέναι αὐτὸν, ἐφ' ὁπόσον
δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι, εἶτα ἐς τὸ κάταντες
αὖθις ἐπινεύειν, καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ

οχον (om *ἐκεῖνον*) 𝔄ΔΩ et v. *διφρελάτην* B. *καὶ ἤλπισα*] *καὶ* om 𝔄. *τηλικοῦτο* BAΨΩ, *τηλικοῦτον* 𝔄Δ et v. *γενήσεσθαι*] *ἔσεσθαι* 𝔄. *ἐδεῖτο* om Ω, pro quo *δεῖται* 𝔄. *καὶ ὡς, εἰ*] *καὶ ὡσεὶ* B. *πάντα*] *τὰ πάντα* 𝔄 speciose. *τὸν θυμὸν, ὡς* libri omnes. at dudum correxi: *τὸν θυμὸν, καὶ ὡς* —. nam ne asyndeton quidem ferendum est. et ut modo post *οὐκ ᾔδεις*, ita hic post *ἠγνόεις* secundum membrum item ab verbis *καὶ ὡς* incipere debet rhetorice. *δεῖ — ἀνάγκῃ*] *ἀεὶ — ἀνάγκη* 𝔄, *δὴ — ἀνάγκῃ* Ω. *ξυνέχειν* BAC, *συνέχειν* 𝔄ΨΔΩ et v. *λαιὰ — δεξιὰ*] *δεξιὰ — λαιὰ* 𝔄. *μετολίγον* A. *ἐς τὸ ἐναντίον*] *ἐς* om Ω. *ἄνω καὶ κάτω*] *ἄνω κάτω* Δ solus contra usum Luciani. *καὶ ὅλως* 𝔄 cum Lehmanno, *ὅλως* caeteri libri et v. *χρήσαιτο*] *χρήσεται* 𝔄.

2. *πάντα μὲν ἠπιστάμην ταῦτα* BA𝔄Ψ, *ταῦτα μὲν πάντα ἠπιστάμην* ΔM et v, *ταῦτα μὲν ἠπιστάμην* Ω. conjicio tamen: *πάντα μὲν ταῦτα ἠπιστάμην.* *καὶ διατοῦτο* BA, *καὶ τοῦτο* 𝔄, *καὶ* Ω. *ἐπὶ πολὺ* B, *ἐπιπολὺ* A et v. *ἔλασιν*] *ἐλασίαν* 𝔄. *Κλυμένη*] *Κλυμαίνη* Δ. *ἀναβιβασάμενος*] *ἀναβιβάσας* 𝔄, magis attice. at Lucianus hoc medio uti solet. *μὲν* non post *ὅπως* sed post *βεβηκέναι* habet 𝔄. *βεβηκέναι*] *ἐπιβεβηκέναι* Δ, inepte. *ἐς*] *εἰς* 𝔄. *ἀφέντα*] *ἀρθέντα* 𝔄, quod cave probes. *ἐπινεύειν*] *ἐπινεύει*

ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι. ὁ δὲ (παῖς γὰρ ἦν) ἐπιβὰς τοσούτου πυρὸς καὶ ἐπικύψας ἐς βάθος ἀχανὲς ἐξεπλάγη, ὡς τὸ εἰκός. οἱ δ' ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου ἐξετράποντο τῆς ὁδοῦ καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν. ὁ δὲ τὰς ἡνίας ἀφεὶς, οἶμαι δεδιὼς, μὴ . . . . . ἐκπέσῃ αὐτὸς, εἴχετο τῆς ἄντυγος. ἀλλ' ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην κἀμοὶ, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος. 3. *ΖΕΥΣ. ἱκανὸν λέγεις τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι, ἐς δὲ τὸ λοιπὸν ἤν τι ὅμοιον παρανομήσῃς ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ, ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς * πυρωδέστερος.* 280 *ὥστ' ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθεὶς, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι, καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει· σὺ δὲ ξυμπηξάμενος τὸ ἅρμα (κατέαγε δὲ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος τῶν τροχῶν συντέτριπται) ἔλαυνε ὑπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.*

A. *καὶ ὡς*] *ὡς* om 𝔄. *ἡλίκος*] *πηλίκος* 𝔄. *τοσούτου*] *τοσοῦτον* A. *δ' ἵπποι* 𝔄 pro *δὲ ἵπποι*. *ἐξετράποντο*] *ἐξετρέποντο* 𝔄. *ταῦτα*] *πάντα* 𝔄. *ἡνίας* A. *μὴ ἐκπέσῃ* vulgo tacentibus qui 𝔄ΔΨΩM contulerunt. at vero A cum signis lacunae: *μὴ* . . . *ἐκπέσῃ* (ita A). ac profecto verba nonnulla excidisse certo indicio sunt ista *οἶμαι* et *αὐτός*, quae nunc (ut unus optime Hemsterhusius) ‚sententiam onerant'. *ἐκπέσῃ αὐτὸς*, BAM, *ἐκπέσῃ, αὐτὸς* v. *ἀλλ' ἐκεῖνός* Δ pro *ἀλλὰ ἐκεῖνός*. *ἤδη* om ΨΩ. *κἀμοὶ*] *καὶ ἐμοὶ* 𝔄.
3. *σεαυτοῦ*] *ἑαυτοῦ* 𝔄, *σεαυτῷ* Ψ. *ὁπόσον*] *ὅσον* 𝔄. *ὥστε ἐκεῖνον* BA𝔄ΨΩΔ, *ὥστ' ἐκεῖνον* v et fortasse M. *ἠριδανῷ* B. *ἤλεκτρον*] *ἤλεκτον* A. *γενέσθωσαν* BACΔΨΩM, *γινέσθωσαν* 𝔄, *γιγνέσθωσαν* v. *ξυμπηξάμενος* BCΔ, *ξυμπησάμενος* A (ita A), *συμπηξάμενος* 𝔄Ω et v, *πηξάμενος* Ψ. *κατέαγε δὲ* BA𝔄ΨΩMa, *κατέαγε γὰρ* v et fortasse Δ. *ὁ ῥυμὸς* 𝔄a, *καὶ ὁ ῥυμὸς* caeteri libri et v. *ἅτερος*] *ὁ ἕτερος* 𝔄. *ὑπαγαγὼν* Δ et v, *ἀπαγαγὼν* 𝔄, *ἐπαγαγὼν* BACΨΩMa.

XXVI.

Ἀπόλλων. Ἑρμῆς B, *Ἀπόλλων Ἑρμῆς* A. *Ἀπόλλων καὶ Ἑρμῆς* abc.
1. *ἔστι τούτων*] *ἔστιν αὐτῶν* 𝔄. *ἢ πότερος*] *πότερος* om

XXVI.

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. *ΑΠ.* *Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ*
281 *Κάστωρ ἐστὶ τούτων ἢ πότερος ὁ * Πολυδεύκης; ἐγὼ*
γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς. ΕΡΜ. ὁ μὲν χθὲς
ἡμῖν ξυγγενόμενος ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυ-
δεύκης. ΑΠ. πῶς διαγιγνώσκεις; ὅμοιοι γάρ. ΕΡΜ.
ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ
ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν
πυκτεύων, καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύ-
κου ἐτρώθη τῷ Ἰάσονι συμπλέων· ἅτερος δὲ οὐδὲν τοι-
οῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι καὶ ἀπαθὴς τὸ
πρόσωπον. ΑΠ. ὤνησας διδάξας τὰ γνωρίσματα·
ἐπεὶ τά γε ἄλλα πάντα ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον καὶ
282 *ἀστὴρ ὑπεράνω, καὶ ἀκόντιον * ἐν τῇ χειρὶ καὶ ἵππος*
283 *ἑκατέρῳ * λευκός· ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον*
284 285 ** Κάστορα, Πολυδεύκην ὄντα· τὸν δὲ τῷ τοῦ * Πολυ-*
286 *δεύκους ὀνόματι. ἀτὰρ εἰπέ μοι καὶ τόδε, * τί δήποτε*
οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ' ἐξ ἡμισείας ἄρτι μὲν
νεκρὸς, ἄρτι δὲ θεός ἐστιν ἅτερος αὐτῶν; 2. *ΕΡΜ.*
ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν
τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθάνατον εἶναι,

𝔄. *αὐτούς.] ῥαδίως αὐτούς.* 𝔄. *ἡμῖν ξυγγ.] συγγενόμενος ἡμῖν* 𝔄. *Κάστωρ] ὁ Κάστωρ* 𝔄. *διαγιγνώσκεις* 𝔄*Δ* (ita *Δ*) et v, *διαγινώσκεις* BACΨΩM. *ὅμοιοι] ὅμοιος* AC. *τὰ ἴχνη τῶν τρ.] ἴχνη τραυμάτων* 𝔄. *ἔλαβε παρὰ] ἔλαβεν ὑπὸ* 𝔄, *ἔλαχε παρὰ* Ψ. *πικτεύων* A. *ὁπόσα] ὅσα* 𝔄*Δ*. *ἅτερος δὲ] ὁ δ' ἕτερος* 𝔄. *τοιοῦτον] τοιοῦτο* ΨM. *ὤνησας] ὤνησαι* *Δ*. *διδάξας* BAC*Δ*Ψ et v, *δείξας* ΩMa, *γνωρίσας* 𝔄. *τοῦ ὠοῦ* (*ᾠοῦ* Ba)] *τοῦ τε ᾠοῦ* 𝔄, sed B in textu vulgatam habet, idem om *τοῦ* in scholio: *παίζει τό· ᾠοῦ τὸ ἡμίτομον.* *ὑπὲρ ἄνω* B. *καὶ ἀκόντιον] καὶ ἀστὴρ* 𝔄. *ἑκατέρῳ* om 𝔄. *τῷ τοῦ Πολυδεύκους] τὸ τοῦ Πολυδεύκους* a, *τῷ πολυδεύκους* A. *ἐστιν ἅτερος αὐτῶν] ἐστιν ἑκάτερος αὐτῶν* Ψ, *θάτερος αὐτῶν ἐστιν* 𝔄.

2. *οὕτως αὐτοὶ] οὕτω αὐτοὶ* Ω. *οἵγε* BAC*Δ*𝔄ΨΩM, *εἴγε* abc, *εἴτε* edd. quaedam, in his Reitziana. *οὐδ'* v, *οὐδὲ* BA𝔄*Δ*ΨΩMabc. *οὕτως ἀλλήλους] οὕτω ἀλλήλους* ΨΩa. *ἀλλ' ὥσπερ* A𝔄Ψ*Δ*,

*ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν. ΑΠ. οὐ ξυνε-
τήν, ὦ Ἑρμῆ, τὴν νομήν· οἵ γε οὐδ' ὄψονται οὕτως
ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γὰρ ὁ
μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; πλὴν ἀλλ',
ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ* * 287
*παλαίειν διδάσκεις παιδοτρίβης ἄριστος ὤν, ἡ δὲ Ἄρτε-
μις μαιεύεται καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην
ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην, οὗτοι δὲ τί ποιήσουσιν
ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες; ΕΡΜ.
οὐδαμῶς, ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσει-
δῶνι καὶ καθιππεύειν, ἢν δέῃ, τὸ πέλαγος, καὶ ἐάν που
ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ
πλοῖον σώζειν τοὺς ἐμπλέοντας. ΑΠ. ἀγαθήν, ὦ
Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.*

ἀλλὰ ὥσπερ ΩM et v. *παλαίειν*] *πάλιν* 𝔄. *ἄριστος ὤν*] *ὢν ἄριστος* 𝔄. *ἡ δὲ*] *ἡ δ'* Δ (ut videtur). *μαιεύεται*] *μαιοῦται* 𝔄. *ἕκαστος ἔχει τινὰ*] *τινὰ ἔχει ἕκαστος* 𝔄, *ἕκαστος ἔχει* (om *τινὰ*) Δ (ita Δ). *ποιήσουσιν ἡμῖν*] *ποιοῦσιν ἡμῖν* Ψ, *ποιήσουσι παρ' ἡμῖν* 𝔄. *εὐωχήσονται*] *εὐωχηθήσονται* 𝔄. *αὐτοῖν* B𝔄ΔΨΩM et v, *αὐτοῖς* AC soli. *καθιππεύειν δεῖ* BΔΨΩM et v, *καθιππεύειν δὴ* AC, *καθιππεύειν ἀεὶ ἐς* 𝔄. ut *ἀεί* et *δή* scripturas plane ineptas omittam, ne vulgata quidem *δεῖ* ob antegressum *προστέτακται* tolerari potest. quamobrem correxi: *καθιππεύειν, ἢν δέῃ*, ‚obequitare maria, si opus sit', scil. non tranquillo mari sed in magnis tempestatibus (*ἐν χειμῶνι*, quod de Dioscuris aperte quum caeteri tradiderunt tum poeta (Hom.) hymn. in Diosc. v. 7 sqq. et Arrianus Epict. II, 18 (281). *ἐάν που* BACΔΨ, *ἤν που* 𝔄, *ἄν που* ΩM et v. *ἐπικαθίσαντας*] *ἐπικαθίσαντες* A𝔄. *σωίζειν* B. *ἐμπλέοντας*] *πλέοντας* 𝔄. *λέγεις*] *ἔχουσι* 𝔄.

288 # * ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ.

I.

ΔΩΡΙΔΟΣ ΚΑΙ ΓΑΛΑΤΕΙΑΣ.

122 περινοστεῖν * ἐλευθέρως οὔτε ἀποκλείων οὔτε ζηλοτυ-
πῶν· ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλου-
σίων, κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς
καὶ κλεισὶ καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακῦψαί
σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. ταῦτα γοῦν ἀπωδύρου
πρός με ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ· καὶ
διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαίνου καὶ φροντίδος ἀνάπλεως,
συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν λογισμῶν
καὶ ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο, παρ'
αὐτῶν. καὶ ὅλως τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι, ἐν
χαλκῷ ἢ σιδηρῷ τῷ θαλάμῳ, καθάπερ τὴν Δανάην,
123 παρθενεύεσθαι ὑπ' ἀκριβέσι καὶ * παμπονήροις παιδα-
γωγοῖς ἀνατρεφόμενον, τῷ Τόκῳ καὶ τῷ Λογισμῷ. 14.
ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐτοὺς ἐρῶντας μὲν εἰς
ὑπερβολήν, ἐξὸν δὲ ἀπολαύειν οὐ τολμῶντας, οὐδὲ ἐπ'
ἀδείας χρωμένους τῷ ἔρωτι κυρίους γε ὄντας, ἀλλὰ φυ-
λάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν
ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους,
οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μετα-
διδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ

ἀντί pro σε ἀντί. εἶναί μοι δοκεῖς] μοι om R. ἐλευθέρως] ἐλευθερίως A. κατακεκλεῖσθαι] περικεκλεῖσθαι O. ἐπιβολαῖς PRAOΨΩΩ_2 et v, ἐπιβολῇ L, ἐπηβολαῖς abd. παρακῦψαι Jacobitius pro παρακύψαι. διατοῦτο A. ἐφαίνου καὶ φροντίδος] ἀνεφαίνου καὶ φροντίδων O. τῶν λογισμῶν PRAL et fortasse ΨΩΩ_2, τῶν συλλογισμῶν O et v. vide geminum locum in Gallo § 31: ὡς δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. ἀποδράσεσθαι schol. (bis) APR et fortasse ΨΩΩ_2, ἀποδράσασθαι O et v. τῷ θαλάμῳ AOLΨΩΩ_2PR, θαλάμῳ v. Τόκῳ] σκότῳ R.

14. ἄτοπα] ἄτοπον R. εἰς ὑπερβ. PRAΩΩ_2 et v, ἐς ὑπερβ. ΨOL. κυρίους γε] κυρίους τε OR. ἀλλὰ φυλάττειν PRAOΨΩΩ_2 et v, ἀλλὰ καὶ φυλάττων L. restitui debet participium, sive scribendum est: ἀλλὰ φυλάττοντας καὶ ἐγρηγ. sive: ἀλλὰ φυλάττειν ζητοῦντας (vel ἐπιθυμοῦντας) ἐγρηγ. sive alio modo. ἐν τῇ φάτνῃ] ἐν φάτνῃ O. καὶ κατεγέλας] καὶ om RΩΩ. αὐτοὺς ζηλ.] αὑτοὺς ζηλ. AO. ἢ οἰκονόμος ἢ AO et v, sed ἢ post οἰκονόμος

κύνα μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ ἵππῳ πεινῶντι ἐπιτρέπουσαν. καὶ προσέτι γε καὶ κατεγέλας αὐτῶν φειδομένων καὶ * φυλαττόντων καὶ τὸ καινότα- 124
τον, αὐτοὺς ζηλοτυπούντων, ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης ἢ οἰκονόμος πεδότριψ ὑπεισιὼν λαθραίως ἐμπαροινήσει, τὸν κακοδαίμονα καὶ ἀνέραστον δεσπότην πρὸς ἀμαυρόν τι καὶ μικρόστομον λυχνίδιον καὶ διψαλέον θρυαλλίδιον ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. πῶς οὖν
οὐκ ἄδικα ταῦτά σου, πάλαι μὲν * ἐκεῖνα αἰτιᾶσθαι, 125

---

recte om PRΨΩΩ₂ cum Bekkero. παιδοτρίβης ΑΩΩ₂, sed vulgatam παιδότριψ servant PRΨΟ. utrumque habet schol. Voss: παιδότριψ] παιδοτρίβης —. παιδότριψ e Timone adtulit s. v. Παιδοτρίβας non ipse Suidas sed homo recens, qui Suidan contra omnes codd. interpolavit. sed quum hic varietur παιδοτρίβης et παιδότριψ, quumque Suidae verba ἀλείπτας, γυμναστάς in scholio nostro adhuc legantur: videtur Suidae interpolator e scholio ad nostrum l. olim pleniore haec verba sumsisse: καὶ παιδοτρίβης ἡ εὐθεῖα καὶ παιδότριψ. in Luciano πεδότριψ primus correxit Dindorfius in ed. Paris., male idem scribens: ἢ οἰκονόμος ἢ πεδότριψ. Dindorfi emendationem probarunt Cobetus et is qui bene edidit: ἢ οἰκονόμος πεδότριψ, Bekkerus. error ab Dindorfio correctus recurrit in Saturnal. § 8, ubi male codices παιδοτρίβας pro πεδότριβας. ὑπεισιὼν] ἐπεισιὼν ΑΥd, ὑπεισελθὼν L. ἐμπαροινήσοι ΑΨΩΩ₂. ἀμαυρὸν] ἐμαυρὸν c. πῶς οὖν] his praemittit A novae personae signum et in marg. πλοῦτος, omissa deinceps persona ΠΛΟΥΤ. ante καὶ μὴν —. ἄδικον, πάλαι μέν σου ταῦτα αἰτιᾶσθαι a et caeterae edd. ante Schmiederum, ἄδικα ταυ .... πάλαι μὲν ἐκεινᾶ αἰτιᾶ .... T, ἄδικα ταῦτ' ἐκεῖνα αἰτιᾶσθαι ΩΩ₂, ἄδικά σοι ταῦτα π. μ. ἐ. αἰτ. R, ἄδικα ταῦτα, πάλαι μὲν ἐκεῖνα αἰτιᾶσθαι ΑΧ, ἄδικα ταῦτά σου (ταῦτα σοὶ d), πάλαι μὲν ἐκεῖνα (ἐκείνων cd) αἰτιᾶσθαι ΡΨΟVNcd itaque bene edidit Schmieder. videtur alio ordine etiam id quo cod. Vatic. et vulgata adludunt lectum fuisse: ἄδικά σου ταῦτα, cui ordini favet illud: γενναῖά σου ταῦτα in Vitar. Auct. § 23 med. et in Piscat. § 24 fin. nempe, ut duo libri Veneti docent, ob homoeoteleuton exciderant modo verba ταῦτά σου πάλαι μέν modo σου πάλαι μὲν ἐκεῖνα, quae in aliis codd. recte omnia, in aliis partim tantum, in aliis perverse suppleta sunt non sine vario errore. omittam inutiles quasdam divinationes, ut hanc quam G. Hermannus non plane improbabat, Urbani conjecturam: πῶς οὖν οὐκ ἄδικον, ταῦτά σε πάλαι μὲν ἐκείνων αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τἀναντία ἐπικαλεῖν; τὰ ἐναντία] τὰ om N solus.

νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικαλεῖν; 15. ΠΛΟΥΤ. καὶ μὴν εἴγε τἀληθὲς ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν. τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο ἀνειμένον καὶ ἀμελὲς οὐκ εὐνοϊκὸν ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη·
126 τούς τε αὖ κατάκλειστον ἐν θύραις καὶ σκότῳ * φυλάττοντας, ὅπως αὐτοῖς παχύτερος γενοίμην καὶ πιμελὴς καὶ ὑπέρογκος ἐπιμελουμένους,. οὔτε προσαπτομένους αὐτοὺς οὔτε ἐς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι καὶ ὑβριστάς, οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἄπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες. 16. οὔτ' οὖν ἐκείνους οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τούς, ὅπερ ἄριστόν ἐστι, μέτρον ἐπιθήσοντας τῷ πράγ-

---

15. εἴγε] εἴ τε O. τἀληθὲς AΨΩΩ₂PR, τἀληθῆ O et v. libri ἀνειμένον ἀμελὲς καὶ —. at Sommerbrodtius bene correxit, ut ego olim adolescens per me videram: ἀνειμένον καὶ ἀμελὲς —, ut τὸ ἀμελὲς dicatur de ‚effusione'. ita ἀμελής est ‚prodigus' ap. Arist. Lysistr. v. 882, cui opponitur ἐπιμελής ‚homo frugi' ap. Xenoph. Memorab. II, 6, 38. vide Meinekium ad Com. Gr. Fragm. IV p. 602. ὡς πρὸς ἐμὲ] πρὸς om f. θίβαις c et aliae quaedam deinceps, θύραισι A, sed caeteri libri (OΨΩΩ₂ diserte) θύραις (θύραις καὶ τῷ σκότῳ R). illud θύραις alii aliter mutarunt, ut Solanus, Faber, Fr. Jacobsius, Keilius. nullam tamen conjecturam mentione satis dignam esse censeo, nisi forte Bekkeri sive potius Meinekii (in Philologo 3 p. 320) ὑδρίαις, quacum cf. Ar. Avv. v. 602. at vulgatam diserte tuetur ad h. l. Hemsterhusius (‚ἐν θύραις, inquit, quod certatim impugnant, rectissimum est') itemque in Anecdot. p. (31), qui quid sit κατάκλειστος (παρθένος) optime demonstrat. ad Timon. § 17. mea sententia poetice dici licet κλειστὸς ἐν θύραις pro simplici dativo (vide vel Hom. Jl. ε', 386). hinc suspicor Lucianum comici poetae locum partim retinuisse, qui talis fere esse potuit: [ὡς γυνὴ φυλάττεται | πλοῦτος] κατάκλειστος ἐν θύραισι καὶ σκότῳ. πιμελὴς] ἐπιμελὴς R. ἐς τὸ φῶς AOLΩΩ₂PR, ἐς φῶς Ψ, εἰς τὸ φῶς abc et v. μηδὲ ὀφθείην] μὴ ὀφθείην Ψ. οὐδὲν] καὶ οὐδὲν L. τὸν οὐδέν, uti Struvius L. L. p. 231 conjecit, ita demum scribi liceret, si με abesset. εἰδότες a et mox μεταμικρόν. ἀπιᾶσιν A.

16. ὅπερ] ὥσπερ R. τὸ παράπαν pro τοπαράπαν hic et mox iterum Jacobitius. τὸ ὅλον] τὸ μέλλον A. σκόπει γὰρ] ma-

ματι καὶ μήτε ἀφεξομένους τὸ παράπαν μήτε προησο-
μένους τὸ ὅλον. σκόπει γάρ, ὦ Ζεῦ, πρὸς τοῦ Διός·
εἴ τις νόμῳ γήμας γυναῖκα νέαν καὶ καλὴν, ἔπειτα μήτε
* φυλάττοι μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀφιεὶς καὶ 127
βαδίζειν ἔνθα ἂν ἐθέλοι νύκτωρ καὶ μεθ' ἡμέραν καὶ
ξυνεῖναι τοῖς βουλομένοις, μᾶλλον δὲ αὐτὸς ἀπάγοι μοι-
χευθησομένην, ἀνοίγων τὰς θύρας καὶ μαστροπεύων
καὶ πάντας ἐπ' αὐτὴν καλῶν, ἆρα ὁ τοιοῦτος ἐρᾶν δόξειεν
ἄν; οὐ σύ γε, ὦ Ζεῦ, τοῦτο φαίης ἄν, ἐρασθεὶς πολλά-
κις. 17. εἰ δέ τις ἔμπαλιν ἐλευθέραν γυναῖκα εἰς τὴν
οἰκίαν νόμῳ παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ
δὲ μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρθέ-
νου μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον δὲ καὶ
στεῖραν κατακλείσας παρθενεύοι, καὶ ταῦτα ἐρᾶν φάσκων,
* καὶ δῆλος ὢν ἀπὸ τῆς χρόας καὶ τῆς σαρκὸς ἐκτετη- 128

---

lim σκόπει γὰρ ὧδε (sive οὕτως, sive ἐκ τῶνδε). vide vel Xenoph. Memorab. II, 6, 38: εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι. εἰ γὰρ —. γήμας γυναῖκα] γυναῖκα γήμας ΨP. μήτε — ἀφιεὶς] μήτε ζηλοτυποῖ μήτε φυλάττοι τοπαράπαν, ἀφιεὶς R, quod hodie probo. nam et verba φυλάττειν, ἀφιέναι bene opponuntur et μὴ φυλ. τὸ παράπαν melius conjuncta sunt quam μὴ ζηλοτυπεῖν τὸ παράπαν. hinc olim voces τὸ παράπαν plane delebam quasi natas e superiore loco post ἀφεξομένους. plura hic et § 17 insunt ab comicis sumta, quae esse potuerunt hujusmodi: παίδων ἐπ' ἀρότῳ γνησίων | νόμῳ νέαν γυναῖκα γήμας καὶ καλήν. μήτε ζηλοτ.] μὴ δὲ ζηλοτ. A. ἔνθα ἂν ἐθέλοι ΩΩ$_2$ et v, ἔνθα ἐθέλοι PAOΨa, ἔνθα ἐθέλει R. frustra Struvius: ἔνθα ἂν ἐθέλῃ. αὐτὸς] αὐτοὺς a. ἀπάγοι PAOΨ et v, ἀπάγων RLΩ$_2$ et qui ἀπάγω^ν Ω.

17. ἐπ' ἀρότῳ] ἐπαρῶτο Ψ, ἐπ' ἔρωτι A. solemnis haec formula in nuptiis contrahendis ἐπ' ἀρότῳ παίδων γνησίων alibi mutata est in ἐπ' ἀρότρῳ. vide Porsonum ap. Dobraeum ad Arist. Acharn. 234, Nauckium Fragm. Trag. p. 708 et Meinekium Fragm. Com. V p. 107. quanquam Meinekius de Apuleji loco Apol. c. 88 p. 576 fallitur. nam graecus versus ap. Apulejum Peerlkampi opera partim emendatus et Menandri versus ap. Clementem Al. Strom. II p. 181 a Porsono ille plane correctus, hi igitur duo comicorum loci fuerunt prorsus diversi. jam Lucianus ab neutro loco pendet, sed aliunde sumtam formulam repetit legitimam. ὁ δὲ] γενέσθαι πατὴρ Ψ, unde scholium ἐπ' ἀρότῳ] ἐπὶ σπορᾷ sic augeo: ἐπὶ τῷ γενέσθαι πατήρ. καὶ ταυτ' ἐρᾶν O, id est καὶ ταῦτ' ἐρᾶν.

κυίας καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων, ἔσθ' ὅπως ὁ τοιοῦτος οὐ παραπαίειν δόξειεν ἄν, δέον παιδοποιεῖσθαι καὶ ἀπολαύειν τοῦ γάμου, καταμαραίνων εὐπρόσωπον οὕτω καὶ ἐπέραστον κόρην, καθάπερ ἱέρειαν τῇ Θεσμοφόρῳ τρέφων διὰ παντὸς τοῦ βίου; ταῦτα καὶ αὐτὸς ἀγανακτῶ, πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος καὶ λαφυσσόμενος καὶ ἐξαντλούμενος, ὑπ' ἐνίων δὲ ὥσπερ στιγματίας δραπέτης πεπεδημένος. 18. ΖΕΥΣ. τί οὖν ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην, οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ ἄγευστοι καὶ ξηροὶ τὸ στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ, οἱ δὲ καθάπερ ὁ Φινεὺς ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν Ἁρπυιῶν ἀφαιρούμενοι. ἀλλ' ἄπιθι ἤδη σωφρονεστέρῳ παρὰ πολὺ τῷ Τίμωνι ἐντευξόμενος. ΠΛΟΥΤ. ἐκεῖνος γάρ ποτε παύσεται ὥσπερ ἐκ κοφίνου
129 τετρυπημένου, * πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιρροήν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν. ὥστε ἐς τὸν τῶν

δόξειεν ἄν; interpungit A et mox τοῦ βίου· ἀπολαύειν] ἀπολαύσειν R. ταῦτα — ἀγανακτῶ] Fabri conjecturam ταὐτά refutavi in Ep. Cr. p. XXVIII et contuli D. Deor. XV, 1 et Pseudolog. § 2. φυλασσόμενος O. λαφυττόμενος Lucianum scripsisse equidem nego, ait Dindorfius.

18. ὁ Φινεὺς] ὁ φονεὺς A. γάρ ποτε Aa, γὰρ πότε v. illud probavi in Ep. Crit. p. XXVIII ut exclamationem ironicam indignabundi. ἐκ om Ψ. τετρυπημένον A. ὥσπερ — τετρυπ.] optime hic Hemsterhusius solus haeret et quomodo cum caeteris haec apte cohaereant, intelligere se negat recteque addit hoc vitium ab ipso videri Luciano profectum esse. prodigus, qui opes quotidie minuit, recte ille quidem dici potest eas ‚quasi e corbe perforata' eximere i. e. ἐξαιρεῖν, non item ut h. l. exstat ἐξαντλεῖν (exhaurire). κόφινος (sive ἄρριχος, σώρακος, φορμός) crates est vel viminea vel arundinacea. atqui e corbe ne licet quidem aquam exhaurire, nedum e perforata. sed nimirum ἐξαντλῶν eo scripsit, quod subito aberravit ad Danaides, quibus antiquitas tota tribuit πίθον, ὑδρίαν, ἀγγεῖα, at κόφινον (corbem) nemo unus. ita Lucianus duas imagines (εἰκόνας) male confudit, unam ὥσπερ ἐκ κοφίνου τετρυπημένου ἐξαιρῶν, alteram ὥσπερ ἐκ πίθου τετρυπημένου ἐξαντλῶν. εἰσπεσὼν AO et v, ἐσπεσὼν PRΨΩΩ₂. ἐς τὸν τῶν] ἐς τῶν R. δαναΐδων A et fortassis alii codices, Δαναΐδων v.

Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ καὶ μάτην ἐπαντλήσειν, τοῦ πυθμένος μὴ στέγοντος, ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιρρέοντος· οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου καὶ ἀκώλυτος ἡ ἔξοδος. 19. ΖΕΥΣ. οὐκοῦν εἰ μὴ ἐμφράξεται τὸ κεχηνὸς τοῦτο καὶ τὸ εἰσάπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. ἀλλ' ἄπιτε ἤδη καὶ πλουτίζετε αὐτόν· σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσωσιν· ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα. 20. ΕΡΜ. προΐωμεν, ὦ Πλοῦτε. τί τοῦτο; * ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν. ΠΛΟΥΤ. οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ, ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διός, οὐκ οἶδ' ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μόλις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ

ὑδροφορημοι δοκῶ O (ita *O*). *τοῦ κύτους* v et fortasse P, *τοῦ κύματος* AΨOLΩΩ$_2$, *τοῦ τῆς ἐπιρροῆς κύματος* R, male intruso scholio Vossiano hocce: *τοῦ ἐπιρρέοντος: τῆς ἐπιρροῆς.* sed in antiqua lectione *ΚΥΜΑΤΟC* non vulgata latet verum id quod supra posui *ΠΥΘΜΕΝΟC*. vide locum plane gemellum in D. Mort. XI, 4: *τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι κ. τ. ἑ.* *ἐπιρρέοντος οὕτως*, interpunctum in bc. pro *οὕτως εὐρ.* exspectes *τοσούτῳ* (sive *παρὰ τοσοῦτον*) *εὐρύτερον*. at Abreschius Lect. Aristaen. II p. 283 et Lobeckius ad Phryn. p. 424 cum nostro l. bene conferunt Phalar. Epist. 128: *οὕτω νεώτερον.*

19. *εἰ μὴ* AΩΩ$_2$P et v, *ἢν μὴ* OΨR. *ἐμφράξηται* AOΨR et v, sed recte *ἐμφράξεται* PLΩΩ$_2$. *εἰς τὸ ἅπαξ* v, *ἐς τὸ ἅπαξ* ALNOΨΩΩ$_2$PR. verba *τὸ κεχηνὸς — ἀναπεπταμένον* adfert Thomas p. 218, ubi *εἰς τὸ ἅπαξ* vulgo, sed *ἐς τὸ ἅπαξ* codices tres. ego Cobeti in V. L. p. 222 conjecturam: *τὸ εἰσάπαξ* recepi, quum in Quaestt. L. p. 68 huic vitio mederi frustra studuissem. *εἰσάπαξ* in ipso Timone § 45 exstat, at *ἐς τὸ ἅπαξ* nusquam legi, neque atticum *ἐς τὸ πρόσθεν* comparare licet.

20. post *τί τοῦτο* interpunxit Hemsterhusius. *τί τοῦτο ὑποσκάζεις;* v. *ὁπόταν μὲν* om R. *οὐκ οἶδα ὅπως* AOΨ. *μόλις* AΨRΩΩ$_2$ et v, *μόγις* OLR. *τελεῖν* AO (ita *O*) ΨΩΩ$_2$R et v,

περιμένοντος· ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει, πολὺ τῶν ὀνείρων ὠκύτερον. ἅμα γοῦν ἔπεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκώς, ὑπερπηδήσας τὸ στάδιον οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν. ΕΡΜ. οὐκ ἀληθῆ ταῦτα φῄς. ἐγὼ δέ τοι πολλοὺς ἂν
131 εἰπεῖν ἔχοιμί σοι χθὲς μὲν οὐδὲ ὀβολόν, ὥστε * πρίασθαι βρόχον, ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους καὶ πολυτελεῖς ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε. καὶ ὅμως πορφυροῖ καὶ χρυσόχειρες περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες οἶμαι ὅτι μὴ ὄναρ πλουτοῦσιν. 21. ΠΛΟΥΤ. ἑτεροῖον τοῦτ' ἐστίν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω

ἐλθεῖν PTUVYc „in Cod. Reg. (Parisino Fabri) mutatum fuit τελεῖν in ἐλθεῖν". ὀνείρων APRΨΩΩ$_2$TVYcd et codex Fabri, ὀνείρων et in marg. γρ. ὀρνέων O, ὀρνέων ab et v. ἅμα γοῦν] ἅμα οὖν ΩΩ$_2$a. ὕσπληξ a et scholiasta. ἅμα γοῦν — ὑπερπηδήσας] adluditur ad epigramma incerti poetae sed antiqui in Anthol. Pal. XI, 86, ubi Jacobsius pro ἄλλος bene conjecit Λάδας e Plutarcho Reip. Ger. Praec. c. 10. sed optime vidit H. Jacobi (in com. Gr. adn. coroll., Posnaniae a. 1861 p. 6) mutilatum esse hoc epigramma et inserta alia epigrammatis parte ex Anth. Plan. IV p. 185 Jac. ed. pr. (sive Anthol. Pal. paralip. II p. 640) hoc modo supplendum:

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν εἴτ' ἐκάθητο,
οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.
Λάδας τὸ στάδιον δ' εἴθ' ἥλατο εἴτε διέπτη,
δαιμόνιον τὸ τάχος κοὐδὲ φράσαι δυνατόν.
ὁ ψόφος ἦν ὕσπληγγος ἐν οὔασι, καὶ στεφανοῦτο
Λάδας, καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

δέ τοι AOPRΨL et codex Fabri, δὲ καὶ v. in ΩΩ$_2$ legi suspicor δέ τοι, non γέ τοι Jacobiti conjecturam inutilem. ἔχοιμί σοι] ἔχοιμί σε O. χθὲς μὲν] μὲν om AΨ. οἷς οὐδὲ κἂν ὄνος] id haud sane atticum est: attici dicunt, οἷς ἀλλ' οὐδ' ὄνος, ut Diphilus ap. Athen. VI p. 236, b (v. 8): τὸ δεῖπνον ἀλλ' οὐδ' αἷμ' ἔχει. vide Berglerum ad Aristoph. Nub. v. 1378 ed. Bekk. serioris graecitatis est οὐδὲ κἂν (‚ne asellus quidem certe', nicht einmal wenigstens). errasse enim censeo Cobetum in V. L. p. 222. atticum illud ἀλλ' οὐδὲ habet Lucianus De Merc. Cond. § 7 et Hermot. § 2.

ὑπῆρξε πώποτε] ὑπῆρχε πρότερον πώποτε R. ὅμως] ὤμους Ψ. πορφυροῖ A, πορφυρεοὶ v. οὐδὲ αὐτοὶ O. πλουτοῦσι A.

21. καὶ τῷ (τὸ a) ὀνόματι] καὶ malim abesse. vide geminum locum De Sacrific. § 10. παρ' ἑτέρου APRΩΩ$_2$ et v, παρ' ἄτου

τότε, οὐδὲ ὁ Ζεύς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με
παρ' αὐτούς, ἅτε πλουτοδότης καὶ μεγαλόδωρος καὶ
αὐτὸς ὤν· δηλοῖ γοῦν καὶ τῷ ὀνόματι. ἐπειδὰν τοίνυν
μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλ-
τον ἐμβαλόντες με καὶ κατασημηνάμενοι ἐπιμελῶς, * 132
φορηδὸν ἀράμενοι μετακομίζουσι. καὶ ὁ μὲν νεκρὸς ἐν
σκοτεινῷ που τῆς οἰκίας πρόκειται ὑπὲρ τὰ γόνατα πα-
λαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς·
ἐμὲ δὲ οἱ ἐπελπίσαντες ἐν τῇ ἀγορᾷ περιμένουσι κεχη-
νότες, ὥσπερ τὴν χελιδόνα προσπετομένην τετριγότες
οἱ νεοττοί. 22. ἐπειδὰν δὲ τὸ σημεῖον ἀφαιρεθῇ καὶ
τὸ λίνον ἐντμηθῇ καὶ ἡ δέλτος ἀνοιχθῇ, καὶ * ἀνακη- 133
ρυχθῇ μου ὁ καινὸς δεσπότης, ἤτοι συγγενής τις ἢ
κόλαξ ἢ καταπύγων οἰκέτης ἐκ παιδικῶν τίμιος, ὑπεξυρη-
μένος ἔτι τὴν γνάθον, ἀντὶ ποικίλων καὶ παντοδαπῶν
ἡδονῶν, ἃς ἤδη ἔξωρος ὢν ὑπηρέτησεν αὐτῷ, μέγα τὸ
μίσθωμα ὁ γενναῖος ἀπολαβών, ἐκεῖνος μέν, ὅστις ἂν
ᾖ ποτε, ἁρπασάμενός με αὐτῇ δέλτῳ θεῖ φέρων ἀντὶ
τοῦ τέως Πυρρίου ἢ Δρόμωνος * ἢ Τιβίου Μεγακλῆς 134
ἢ Μεγάβυζος ἢ Πρώταρχος μετονομασθείς, * τοὺς 135
μάτην κεχηνότας ἐκείνους εἰς ἀλλήλους ἀποβλέποντας
καταλιπών, ἀληθὲς ἄγοντας τὸ πένθος, * οἷος αὐτοὺς 136

O (ita *O*), hoc est παρά του, quod Cobeto V. L. p. 222 probatum ita recipi deberet, si in libris esset optimis. nunc cave mutes παρ' ἑτέρου πρὸς ἕτερον. vide vel D. Deor. XX, 8 init., Anthol. Pal. IX, 74 v. 2, Alexin ap. Athen. IV p. 161, c v. 14. φορηδὸν libri, quod comparare licet cum forma ἀναφανδόν. sed h. l. longe malim cum Cobeto V. L. p. 223 scribere: φοράδην. attici enim non φορηδόν dicunt sed φοράδην, qua forma ipse Lucianus usus est quater. παλαιᾷ τῇ ὀθόνῃ] Cobeti V. L. p. 223 conjecturam παλαιᾷ τῳ ὀθόνῃ frustra alii probarunt. articulus praemisso adjectivo plane est Lucianeus. προσπετομένην Ψ et v, προσπεταμένην ΑΡΒΩΩ$_2$a, προσπεπταμένην *O*. τετρυγότες L.

22. ἀφηρηθῇ et mox ἀνψχθῇ Anglus Bourd. λίνον *O*c, λῖνον A et v. ἀνακυρυχθῇ *O*. καινὸς *O*ΡΨΩΩ$_2$ab et v, κοινὸς AR nonnullae edd. vett. in his c. θεῖ *O*ΨΡΩΩ$_2$, θέει ΑΨ et v. ἀντὶ τοῦ] τοῦ om *O*. πυρίου A. τιβείου ΑΩΩ$_2$. Μεγάβυζος ΑΨΩΩ$_2$PR et v, μεγάβυζης (?) L, μεγάβαζος *O* solus. τοὺς μάτην] ἐς μάτην R. εἰς ἀλλήλους PRΨΩΩ$_2$ et v, ἐς ἀλλήλους AOL.

ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών. 23. ὁ δὲ ἐμπεσὼν ἀθρόος εἰς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς καὶ εἰ παριὼν μαστίξειέ τις, ὀρθὸν ἐφιστὰς τὸ οὖς, καὶ τὸν μυλῶνα ὥσπερ τὸ ἀνάκτορον προσκυνῶν, οὐκέτι φορητός ἐστι τοῖς ἐντυγχάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει καὶ τοὺς ὁμοδούλους μαστιγοῖ, ἀποπειρώμενος εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν, ἄχρι ἂν ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν ἢ ἱπποτροφίας ἐπιθυμήσας ἢ κόλαξι παραδοὺς ἑαυτὸν ὀμνύουσιν, ἦ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτόν, εὐγενέστερον δὲ τοῦ
137 Κέκροπος ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, *

οἷος αὐτοὺς] οἷος αὐτὸς *O*, οἷος αὐτοῖς NY. θύννος] θῦννος A. διέφυγεν] δΐγν *O*. καταπιὼν] καταλιπὼν R, quod proxime antecedit et hinc error.

23. ἀθρόος Cobetus V. L. p. 223. libri ἀθρόως. εἰς ΑΨΩ$Ω_2$PR, ἐς *O* et v. παριὼν (παριῶν A) μαστίξειέ AP et pr m Ψ, [ubi sec m supra ἄλλως (sic)], παριὼν ἄλλος μαστίξειέ (μαστίξει *O*) Ω$Ω_2$*O*R et v. et Faber quidem probante Hemsterhusio ἄλλως pro ἄλλος conjiciebat. immo, ut codices nunc docent, expungi debet ἄλλος, quod ex forma ἄλλως ita natum est: ἄλλως (i. e. γράφεται) ὄ ρ θ ι ο ν. ὄρθιον PR et v, ὀρ θι^{ον} (rasura inter ρ et θ) Ψ, ὀρνίθιον ΑΩ$Ω_2$, ὀρνίθϊοι *O*. ὄρθιος pro ὀρθός graecitatis est serioris. atticum ὀρθὸν duce Cobeto V. L. p. 223 restituit Sommerbrodtius comparans Soph. Electr. v. 27. τὸν μυλῶνα (μύλωνα A) — προσκυνῶν] inridentis sane, longe alio tamen modo ridentis haec sunt, quae Hemsterhusius conferebat, Demosthenica 19, 314 Bekk.: ὁ τέως προσκυνῶν τὴν θόλον. nam Aeschines eum locum, qui scribam diu aluerat, sancte olim colere poterat; servus colere non potest quasi gratam sedem pistrinum. hinc cum Lucianeis talia potius comparanda erant, quale est illud Sophoclis in Philoct. v. 776: τὸν φθόνον δὲ πρόσκυσον, | μή σοι γενέσθαι πολύπον' αὐτά —. nam odiosas quoque res, si quam abominari vellent, graeci adorabant hoc secum animo volventes: ,parce, precor precor'.

τὸ ἀνάκτορον] de hoc Cereris Eleusiniae adyto post alios disseruit Lobeckius in Aglaoph. p. 59 sqq. οὐκέτι pro οὐκ ἔτι A, qui idem φορητής. ἄχρι ΑΩ, ἄχρις Ψ$Ω_2$*O*PR et v. ἑαυτὸν] αὐτὸν *O*. εὐμορφώτερον Ψ. τοῦ Κέκροπος ἢ Κόδρου ΑΨΩ$Ω_2$PR et v, τοῦ κόδρου (om Κέκροπος ἢ) *O* solus (ita *O*). nil mutandum est. de dicto εὐγενέστερος Κέκροπος vide ad h. l.

πλουσιώτερον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν καὶ πανουργιῶν συνειλεγμένα. 24. *ΕΡΜ. αὐτά που σχεδὸν φῂς τὰ γιγνόμενα. ὁπόταν δ' οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς ὢν εὑρίσκεις τὴν ὁδόν; ἢ πῶς διαγιγνώσκεις ἐφ' οὓς ἄν σε ὁ Ζεὺς ἀποστείλῃ κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους; ΠΛΟΥΤ. οἴει γὰρ εὑρίσκειν με οἵτινές εἰσι; μὰ τὸν Δία οὐ πάνυ· οὐ γὰρ ἂν Ἀριστείδην καταλιπὼν Ἱππονίκῳ καὶ Καλλίᾳ προσῄειν καὶ πολλοῖς ἄλλοις Ἀθηναίων οὐδὲ ὀβολοῦ ἀξίοις. ΕΡΜ. πλὴν ἀλλὰ τί πράττεις καταπεμφθείς; ΠΛΟΥΤ. ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρι ἂν λάθω τινὶ ἐμπεσών. ὁ δέ, ὅστις ἂν πρῶτός μοι * περιτύχῃ, ἀπαγαγὼν παρ' αὐτὸν ἔχει, σὲ* 138

Hemsterhusium. librarius quaerebat proverbium magis vulgare, memor fortasse loci in D. Mort. IX, 4: *Κόδρου εὐγενέστερος*, de quo Leutschius ad Zenobium IV, 3 p. 84. in Achille Tatio VI, 12 p. 142 J: *εἴτε ἐστὶ καὶ Κόδρου εὐγενέστερος, εἴτε Κροίσου πλουσιώτερος* deleta voce *καί* scribe: *εἴτ' ἔστι Κόδρου —. πλουσιώτερον δέ*] *δὲ* om AΨ. *Κροίσων*] *κροίσω* O. *ἑκκαίδεκα* A, *ιϛ* L solus. *ἐκχέῃ*] *ἐκχέει* ΨΩ₂OR. *ἐπιορκιῶν*] *ἐφορκιῶν* OR.

24. *γινόμενα* PR, *γενόμενα* O. *βαδίζεις* Y. *οὕτω*] *οὕτως* R. libri *διαγινώσκεις*. haec omnia, *πῶς οὕτω τυφλὸς ὢν — διαγιγνώσκεις* sumsit ex Aristoph. Pluto v. 91, ut recte alicubi Schwidopius. *εἰσι*; *μὰ — προσῄειν — ἀξίοις ΕΡΜ. πλὴν* — AΨΩΩ₂PR, *εἰσι*; *ΕΡΜ. μὰ — προσῄεις — ἀξίοις. πλὴν* — O et v. vulgatam defendere licet. (*μὰ τὸν Δί'*) *οὐ πάνυ* ab initio posita sunt respondentis, ut in Hermot. § 13 fin., neque *πλὴν ἀλλὰ* usquam ab initio dicit qui alteri respondet, sed ut in vulgata h. l., eodem modo in D. Deor. V, 2, ibid. XVI, 2, Gallo § 5, Philopseud. § 15 init., Bis Accus. § 20 bis. illud tamen *Καλλίᾳ προσῄειν* loqui ipse Plutus potest, qui similia habet infra § 30 fin. *οὐ γὰρ ἂν* AOΨΩΩ₂PR, *οὐ γὰρ* (om *ἂν*) v. *καταπεμφεὶς* A. *ἄχρι ἂν* AΩΩ₂, *ἄχρις ἂν* ΨOPR et v. *μοι περιτύχοι* AN, *περιτύχῃ μοι* R. *ἀπαγαγὼν παρ' αὐτὸν ἔχει σε τὸν* Ω₂ONR, *ἀπαγαγών, παρ'* (*πρὸς* cd) *αὐτὸν ἔρχεται τὸν* APcd, *ἀπαγαγὼν πρὸ αὐτῶν ἔρχεται τὸν* Y, *παρ' αὐτὸν ἀπαγαγὼν ἔχει σε τὸν* ΨΩ, *ἀπαγαγὼν ἔχει σε τὸν* vulgo. *αὑτὸν* pro *αὐτὸν* est Solani. *ἔρχεται* pro *ἔχει σε* merus est calami error, sed antiquus. verba *παρ' αὐτόν*, quum male excidissent, vario modo suppleta sunt. illud quod in Venetis est *παρ' αὐτὸν ἀπαγαγὼν*

τὸν Ἑρμῆν ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν. 25. *ΕΡΜ. οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς οἰόμενός σε κατὰ τὸ αὐτῷ δοκοῦν πλουτίζειν ὅσους ἂν οἴηται τοῦ πλουτεῖν ἀξίους; ΠΛΟΥΤ. καὶ μάλα δικαίως; ὦγαθέ, ὅς γε τυφλὸν ὄντα εἰδὼς ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιιὼν καὶ*
139 *σαγηνεύομαι πρὸς αὐτῶν. ΕΡΜ. εἶτα πῶς, * ἐπειδὰν καταλίπῃς αὐτούς, ῥᾳδίως φεύγεις οὐκ εἰδὼς τὴν ὁδόν; ΠΛΟΥΤ. ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς.* 26. *ΕΡΜ. ἔτι δή*

---

haud sane improbo, sed hic quoque agnosco comoediae versus solutos de divitiis, tales fere: *ὅστις γὰρ ἂν πρώτιστα περιτύχῃ [ποτε, | οὗτος] παρ' αὑτὸν ἀπαγαγὼν ἔχει [μόνος].* utut est, ad *ἔχει* tacito adsumendum est *παρ' αὑτῷ.* nam *παρ' αὑτῷ ἔχει* est ‚sibi habet solus neque dat aliis', velut ap. Aeschylum in Prometh. v. 186 sq.

25. *τὸ* (*τὰ* d) *αὑτῷ δοκοῦν* ΑΨΩΩ₂Pcd, *τὸ αὐτοδοκοῦν* Y, *τὰ αὑτῷ δοκοῦντα* OR et v. *τοῦ πλουτεῖν*] *τοῦ πλούτου* O solus. vide supra § 24: *κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους.* *ὦγαθέ*] *ὦ ἀγαθὲ* R. *γε τυφλὸν ὄντα εἰ* in ras. sed ab ead. m. O. *ἔπεμψεν* cd. *πρὸ πολλοῦ* A, *προπολλοῦ* v. *ἐξεύρῃ* O. *μικρὸν*] *σμικρὸν* R. *ἐν* (*ταῖς* supra) *πόλεσι* (*ταῖς* supra add m sec) Ω. pro *ἐπεχόντων* cave scribas *κατεχόντων.* proprie *τὸ πᾶν ἐπέχειν* est ‚omne spatium implere', sicut exstat in Saturnal. § 9: *ἡ χιὼν ἐπέχει τὰ πάντα.* ita proverbium ap. Plinium Nat. Hist. II, 7 § 5: ‚fortuna utramque paginam facit' (h. e. implet) nihil differt a Plinii Secundi in Epist. V, 20 verbis hisce: ‚utramque in partem fortuna dominatur'. usitatius tamen est alterum, *πάντα κατέχειν* ut in Bis Accus. § 8, Navig. § 33, Aristoph. Nub. v. 328, sive *κατέχειν τὰ πάντα* Luc. Timone § 27. *σαγηνεύομαι*] *σαγηνευόμενος* c. *τότε που* N solus, *τότε πῶς* edd. ante Schmiederum, qui recte *τότε πως.* et sic plerique codices praeter A, qui *τό τέ πως.* in quo cave putes hoc latere: *ὀξυδερκὴς τέως καὶ* —. quanquam *τέως* quoque hic apte dici potuit. *γίγνομαι*] *γίνομαι* ΑΟPRΨΩΩ₂.

26. *ἔτι*] *τι* A. in locis geminis partim (ut h. l.) est *ἔτι* velut in Saturnal. § 8, partim *ἴθι,* sicut in Hermotim. § 15 et Imagini-

μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὤν, εἰρήσεται γάρ, καὶ προσέτι ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκελοῖν τοσούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν εἰς σέ, καὶ τυχόντας μὲν εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥστε καὶ ἐς βαθυκήτεα πόντον φέροντες ἔρριψαν αὐτοὺς καὶ πετρῶν κατ' ἠλιβάτων, ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτεπερ * 140
οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. πλὴν ἀλλὰ καὶ σὺ ἂν εὖ οἶδ' ὅτι ὁμολογήσειας, εἴ τι ξυνίῃς σαυτοῦ, κορυβαντιᾶν αὐτοὺς ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας. 27. *ΠΛΟΥΤ.* οἴει γὰρ τοιοῦτον οἷός εἰμι ὁρᾶσθαι αὐτοῖς, χωλὸν ἢ τυφλὸν ἢ ὅσα ἄλλα μοι πρόσεστιν; *ΕΡΜ.*

---

bus § 4. ἔχεις AOΨΩΩ_2PRNY, ἔχοις abcd et pleraeque edd. ante Schmiederum. οὕτως σου Aa, ουτους (sic) σου R. ἐς AONΨΩΩ_2PR, εἰς v. βαθυκύτεα codex Parisinus et cd. αὔτοὺς pro αὐτοὺς O. ἠληβάτων A. scholiasta: τὸ Θεόγνιδος διαπαίζει scil. v. 175 sq. eadem repetit non sine Theognidis nomine De Merc. Cond. § 5, ubi libri cum ipso Theognide habent πετρέων, et in Apolog. § 10, ubi memoriae errore scripsit κρημνῶν. in Theognide vulgo legebatur μεγακήτεα, Hemsterhusio dubitante, utrum sit genuinum. at βαθυκήτεα constanter legit Lucianus, legunt alii scriptores antiqui, in Theognide ita legit ipse cod. Mutinensis probante Bekkero, cui βαθυκήτεα merito potius visum est propter oppositum ἠλιβάτων. libri inepte ὅτιπερ, cujus loco unus Solanus ὅτεπερ scripsit verissime, ut jam lusus sit in illo ὑπερορᾶσθαι, cujus verbi vis omnino non cadat in deum caecum. homines mali et opum perdite amantes non eam ob causam sunt pauperes, quod Plutus caecutit: qui si Lyncei instar esset, nebulones profecto non magis ditaret. tum attica sunt ἐπείπερ et ἐπειδήπερ, sed ὅτιπερ nusquam attici ita dicunt ut ὅτι sit Conjunctio, verum ut sit pronomen. ita ὅτιπερ κεφάλαιον habent Eupolis et Lucianus (de quo dixi in Quaestt. L. p. 38), ejusdemque generis sunt frequens illud διόπερ (Verr. Hist. I, 4) et Herodoteum (IV, 186) διότιπερ. at ὅτεπερ plane atticum est, sequente praesertim voce quae intendat, ut ὅτεπερ καὶ —, ὅτεπερ οὐδὲ —. εὖ οἶδ' ὅτι OΨΩΩ_2, εὖ οἶδα ὅτι APR et v. ξυνίῃς O et v et fortasse ΨΩΩ_2, ξυνίεις APR.

27. εἰσίν AΨΩΩ_2PR, εἰσί O et v. αὐτοὺς libri omnes praeter Y, ubi est αὐτοῖς. ego sane malim αὐτοῖς, non improbante Hemsterhusio, qui sic: ‚utrumque bonum'. dativum requirit etiam Cobetus V. L. p. 223, sed conlato Luciani loco 59, 1 scribere au-

ἀλλὰ πῶς, ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσίν; ΠΛΟΥΤ. οὐ τυφλοὶ, ὦ ἄριστε, ἀλλ' ἡ ἄγνοια καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς· ἔτι δὲ καὶ αὐτὸς, ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖόν τι ἐρασμιώτατον περιθέμενος, διάχρυσον καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς ἐντυγχάνω αὐτοῖς· οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾶν τὸ κάλλος ἐρῶσι καὶ ἀπόλλυνται μὴ τυγχάνοντες. ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας ἐπέδειξέ με, δῆλον ὡς
141 *κατεγίγνωσκον ἂν αὐτῶν, ἀμβλυώττοντες * τὰ τηλικαῦτα καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.* 28. *ΕΡΜ. τί οὖν ὅτι καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενό-*

---

det: *ἐπηλυγάζουσιν αὐτοῖς.* longe aliam vim habet *ἐπισκιάζειν τινά* in V. Hist. II, 14 et De Hist. Conscr. 11. at hic illud esse debet ‚tenebras obfundere', quod *ἐπισκοτεῖν τινι* vulgo dicitur, ut in comicorum versibus Indice Jacobi p. 393 et Polyaeni locis ap. Piersonum ad Moer. p. 162. ceterum etiam *ἐπισκοτεῖν τι* dictum esse Schaefer ad Dion. De C. Verb. p. 148 ostendit. hinc in Timone *αὐτούς* licet excusare. *προσωπεῖόν τι ἐρασμιώτατον περιθέμενος* ΑΟΨΩΩ$_2$PR, *προσωπεῖον περιθέμενος ἐρασμιώτατον* v. *ποικίλα*] *ποικίλλον* O, *ποικίλην* R. libri omnes *μὴ ἐντυγχάνοντες*, pro quo *μὴ τυγχάνοντες* dudum correxerunt amici quidam, ut puta E. Burmeister ante Cobetum V. L. p. 223. pugnat enim secum haec oratio: *ἐντυγχάνω αὐτοῖς, οἱ δὲ ἀπόλλυνται μὴ ἐντυγχάνοντες.* ob illud ipsum *ἐντυγχάνω* hic concinne iteravit *μὴ τυγχάνοντες* (i. e. *ἀποτυγχάνοντες*), alioqui scripturus *μὴ τυχόντες*, ut supra exstat § 26. *κατεγίγνωσκον*] *καταγινώσκον* A, *κατεγίνωσκον* caeteri. *αὐτῶν* Solanus, *αὐτῶν* AO et v. *τὰ τηλ.*] scholiasta non legerat in codice suo: *ἐς τὰ τηλικαῦτα*, sed recte judicavit utroque idem denotari. ita variant adverbia *τοσοῦτον* et *ἐς τοσοῦτον.* magis attice scripsisset Lucianus *τηλικοῦτον*, uti Philemon ap. Aelianum Hist. An. XII, 10: *κέκραγε τηλικοῦτον.* at Cobetus V. L. p. 82: ‚*ἀμβλυώττοντες τὰ τηλικαῦτα* graecum erit, si *πρὸς τὰ τηλικαῦτα* repones, ut 12, 1 *ἀμβλυώττω πρὸς τὸ φῶς*'. at nihil graecum erit, quo omnis sententia pervertetur. verba *ἐρῶντες — πραγμάτων* ex Timone adfert Thomas p. 42.

28. *τί οὖν ὅτι καὶ* (*καὶ* om cd) *ἐν* ΑΟΨΩΩ$_2$PRYcd et codex Fabri, *τί οὖν καὶ ἐν* ab et pleraeque edd. ante Hemsterhusium. observa dictionem concisam pro vulgari, *τί οὖν ἐστιν ὅτι —;* qua utuntur et graeci (ut Aristoph. Thesmoph. v. 202) et latini in verbis ‚quid est quod —?' (uti Plautus Pseudulo v. 9). *αὐτοὶ* So-

μενοι καὶ τὸ προσωπεῖον αὐτοὶ περιθέμενοι ἔτι ἐξαπατῶνται; καὶ ἤν τις ἀφαιρῆται αὐτούς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δὴ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτούς, ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστίν, ἔνδοθεν τὰ πάντα ὁρῶντας. *ΠΛΟΥΤ.* οὐκ ὀλίγα, ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται. *ΕΡΜ.* τὰ ποῖα; *ΠΛΟΥΤ.* ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον ἀναπετάσας τὴν θύραν εἰσδέχηταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος καὶ ἡ ἄνοια καὶ ἡ μεγαλαυχία καὶ μαλακία καὶ ὕβρις καὶ ἀπάτη καὶ ἄλλ' ἄττα μυρία. ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν θαυμάζει τε τὰ οὐ θαυμαστὰ καὶ ὀρέγεται τῶν φευκτῶν, κἀμὲ * τὸν πάντων ἐκείνων πατέρα τῶν 142
εἰσεληλυθότων κακῶν τέθηπε δορυφορούμενον ὑπ' αὐτῶν, καὶ πάντα πρότερον πάθοι ἄν, ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν. 29. *ΕΡΜ.* ὡς [δὲ] λεῖος εἶ, καὶ ὀλισθηρὸς ὦ Πλοῦτε, καὶ δυσκάτοχος καὶ διαφευκτικός, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ αἱ ἐγχέλεις

---

lanus. libri *αὐτὸ* —. *πρόειντο* cd, sed codd. omnes et ab ut vulgo *πρόοιντο* attice. vide Schaeferum ad Demosth. I p. 421. *οὐ γὰρ δὴ* ΑΟΨΩΩ$_2$PRTRVX et codex Fabri, *οὐ γὰρ δεῖ* edd. vett. *καὶ τότε*] *καὶ* om R. *εἰκὸς αὐτοὺς*] *αὐτοὺς εἰκὸς O* (ita *O*, sed adhuc solus). *τὰ ποῖα;*] *τὰ* om ΑΨ. *ἐντυγχὼν* A. *τὸ πρῶτον* Jacobitius pro *τοπρῶτον*. *εἰσδέχηταί* ΑΝΨΩΩ$_2$PR, *εἰσδέχεταί O* et v. *τῦφος* ΑΟ(ΨΩΩ$_2$PR?), *τύφος* v. *μεγαλαυχία* ΟΨΩΩ$_2$PR et haud dubie alii codices et v, *μεγαλοψυχία* A et ita scholiastam suo in libro legisse Hemsterhusius praeclare divinarat. quae sive menda fuit scribentis sive recensentis correctio, nullo numero putanda est frustraque Jacobitius eam loco defendebat alieno Pseudoplatonis Alcibiade II p. 150, C: *τὴν μεγαλοψυχίαν· τοῦτο γὰρ κάλλιστον τῶν ἐν ἀφροσύνῃ γε ὀνομάτων.* *καὶ μαλακία* ΑΨP et fortasse RΩ$_2$, *καὶ ἡ μαλακία OΩ* et v. *ἄλλ' ἄττα* ΨΩΩ$_2$P, *ἀλλάττα* A, *ἄλλα ἄττα* R et v, *ἄλλα ἄττα* abcd. *ὑπομείνειεν ἄν*] *ὑπομείνειτ' ἂν O.*

29. *ὡς δὲ* libri et sic in exclamatione saepius incipit Aristophanes (Equit. v. 269 bis, Vesp. v. 636), non item Lucianus, qui etiam in geminis locis D. Deor. XII, 2 fin. et Hermotim. § 59 solum *ὡς* habet. quare et ego ad D. Deor. p. 29 et Cobetus V. L. p. 223 h. l. *ὡς λεῖος εἶ* conjecimus. et in ipso Aristophane Vesp. v. 642: *ὥσθ' οὗτος ἤδη σκορδινᾶται*, ubi *ὡς δ' οὗτος* olim scrip-

ἢ οἱ ὄφεις διὰ τῶν δακτύλων δραπετεύεις οὐκ οἶδ' ὅπως· ἡ Πενία δ' ἔμπαλιν ἰξώδης τε καὶ εὐλαβὴς καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι καὶ μὴ ἔχειν
143 *ῥᾳδίως ἀπολυθῆναι. ἀλλὰ μεταξὺ * ἄλλως φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ μικρὸν διέλαθε. ΠΛΟΥΤ. τὸ ποῖον; ΕΡΜ. ὅτι τὸν Θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα. 30. ΠΛΟΥΤ. θάρρει τούτου γε*

---

seram, hodie malim cum Dindorfio: *ὡς οὗτος* —. *καὶ ὀλισθηρὸς ὦ πλοῦτε* AO (ita *O*) ΨΩ$_2$PR, *ὦ Πλοῦτε καὶ ὀλισθηρὸς Ω* (diserte) et v. *δυσκάτοχος* AOPRΩ$_2$ et codex Fabri, *δυσκάθεκτος Ω* et v. sed in R sic est: *καὶ δυσ διαφευκτικὸς* spatio vacuo. *ὥσπερ αἱ ἐγχέλεις* AONΨΩΩ$_2$PR, *ὥσπερ οἱ ἐγχέλεις* codex Fabri, *ὥσπερ ἐγχέλεις* v. *οὐκ οἶδ'* APRΨΩ$_2$, *οὐκ οἶδα ΟΩ* et v. *ἡ Πενία δ'*] *δ'* om R. *ἰξώδης* codices omnes cum cd, *ἐξώδης* ab. *μυρία τὰ ἄγκιστρα*] Dobreus ad Nub. Collat. v. 1135 (Adversar. I p. 563) *μυρί' ἄττα ἄγκιστρα* conjecit speciose. ita modo § 28 legimus *ἀλλ' ἄττα μυρία.* repugnare tamen talia videntur, quale hoc est in Jov. Trag. § 33: *μυρίας τῆς σπουδῆς δεόμενον.* *ἐμπεφυκότα* codex Fabri. *πλησιάσαντες O.* *ΠΛΟΥΤ. ἀλλὰ μεταξὺ — διέλαθε. ΕΡΜ. τὸ ποῖον; ὅτι* — edd. vett. pleraeque (in his abcd), sed *ἀλλὰ μεταξὺ — διέλαθε. ΠΛΟΥΤ. τὸ ποῖον; ΕΡΗ. ὅτι* — V (ita V) AOΨΩΩ$_2$PR et sic Hemsterhusius ex edd. Salmur. et Argentorat. *ἀλλὰ μεταξὺ ἤδη φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ* edd. omnes ante Jacobitianam, *ἀλλὰ μεταξὺ φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ* (om *ἤδη*) *O* (ita *O*) ΩR, *ἀλλ' ἤδη ἄλλο φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ Ψ*, *ἀλλ' ἤδη μεταξὺ ἄλλα φλυαροῦντας ἡμᾶς, πρᾶγμα ἤδη οὐ* A (ita A), *ἀλλὰ μεταξὺ ἄλλα φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ* P pr m, sed sec m *ἄλλα* (post *μεταξὺ*) delevit. *ἀλλὰ μεταξὺ φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ* Faber corrigi jussit quasi ‚ex libris scriptis' sequente Fabrum Jacobitio. at ex libris nuper conlatis solus ita exhibet Vaticanus, sed manu exhibet secunda. vetus autem lectio et in ipso P et in ΨA haec fere fuerat: *ἀλλὰ μεταξὺ ἄλλο* (vel *ἄλλα*) *φλυαροῦντας* —. quae ego sic emendavi ut supra positum est: *ἀλλὰ μεταξὺ ἄλλως φλυαροῦντας* —. frequens est istuc *ἄλλως* (‚frustra, temere') Luciano et duci ejus Aristophani, in cujus Vespis v. 85 sic est: *ἄλλως φλυαρεῖτ'. οὐ γὰρ ἐξευρήσετε.*

οὗπερ (*ουπερ Ψ*) *ἔδει μάλιστα*] hoc ita fieri Jupiter ipse jusserat supra § 10 init. sed in itinere, ne Pluti et Mercurii conloquium turbaretur, Thesauri persona callide submota est.

30. *θάρει O.* *ἕνεκα· ἐν*] *ἕνεκεν* R. *γῇ αὐτὸν*] *γῇ γὰρ αὐτὸν O* solus, cui favent D. Deor. XX, 12 et § 15, vulgatae autem

*ἕνεκα· ἐν τῇ γῇ αὐτὸν ἀεὶ καταλείπων ἀνέρχομαι πρὸς
ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύ-
ραν, ἀνοίγειν δὲ μηδενὶ, ἢν μὴ ἀκούσῃ ἐμοῦ βοήσαντος.
ΕΡΜ. οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς. καί μοι
ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρι ἂν πρὸς τὴν ἐσχατιὰν
ἀφίκωμαι. ΠΛΟΥΤ. εὖ ποιεῖς, ὦ Ἑρμῆ, χειραγωγῶν·
ἐπεὶ ἤν γε ἀπολίπῃς με, Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμ-
πεσοῦμαι περινοστῶν. * ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐςι* 144
καθάπερ σιδήρου πρὸς λίθον; 31. *ΕΡΜ. ὁ Τίμων
οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον.
παπαῖ, καὶ ἡ Πενία πάρεστι καὶ ὁ Πόνος ἐκεῖνος ἡ
Καρτερία τε καὶ ἡ Σοφία καὶ ἡ Ἀνδρεία καὶ ὁ τοιοῦτος
ὄχλος τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων, πολὺ
ἀμείνους τῶν σῶν δορυφόρων. ΠΛΟΥΤ. τί οὖν οὐκ
ἀπαλλαττόμεθα, ὦ Ἑρμῆ, τὴν ταχίστην; οὐ γὰρ ἄν τι
ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου
στρατοπέδου περιεσχημένον. ΕΡΜ. ἄλλως ἔδοξε τῷ
Διΐ· μὴ ἀποδειλιῶμεν οὖν.* 32. *ΠΕΝ. ποῖ τοῦτον*

Piscat. §. 9. *ἀεὶ καταλείπων* ΑΟΨΩΩ$_2$PR, *καταλείπων ἀεὶ* codex Fabri, *καταλείπων* (om *ἀεὶ*) v. qui *καταλιπών* conjecit Cobetus V. L. p. 223, ad vocem *ἀεί* non videtur adtendisse. idem est enim ac si dicat: *ἀεὶ καταλείπω, ὅτε ἀνέρχομαι.* *πρὸς* ΑΨPR, *παρ᾽ ΟΩ* et v. *ἀκούσῃ ἐμοῦ* ΑΨΩΩ$_2$P, *ἐμοῦ ἀκούσῃ ΟR* et v. ego olim conjeceram: *ἢν μὴ ἀκούσῃ ἐμοῦ ἐμβοήσαντος*, vel *ἢν μὴ ἐμοῦ ἀκούσῃ ἐμβοήσαντος*, quae res patere videbatur etiam ex inferiore loco et eo gemino § 39: *ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι.* at vide quae dixi ad Navigium § 11 (II, II p. 13), ubi *βοῶσιν* et *ἐμβοῶσιν* in codd. confusa sunt. *ἐπιβαίνομεν* P. *καί μοι*] *καί μου Ο.* *ἔπου* A. *ἑ. τ. χλ.*] *τῆς χλαμύδος ἐχόμενος Ψ* solus.

ἄχρι ΑΩΩ$_2$, *ἄχρις ΟΨ*PR et v. *περινοστῶν*] hic et supra § 13 et § 24 sumtum est ex Arist. Plut. v. 121 et v. 494.

31. *πλησίον — ὑπόλιθον*] *πλὴν* et *ὑπολίθιον* R. *Πλοῦτος* habet *παπαί*, tum *Ἑρμ.* in A. *παπαῖ* Jacobitius pro *παπαί.* *ἐκεῖνος*] Quaestt. L. p. 69. *ἡ καρτερία δὲ ΨΟ*R et v, unde in Quaestt. p. 70 *καὶ ἡ καρτερία δέ* conjeceram. at nunc recte *ἡ καρτερία τε* ΑΩΩ$_2$P. *ἀνδρεία* ΑΨPΩ$_2$, *ἀνδρία ΟΩ*R et v. *ὑπὸ τῷ λιμῷ*] *ὑπὸ τῶν λιμῶ* A et mox *σων* sine accentu. *ἀμείνους*] *ἀμείνους ὄντες Ο* et mox *δρὰσοιμεν.* verba *πρὸς ἄνδρα — περιεσχημένον* e Timone adfert Thomas p. 218. *περιεσχημένου* A.

ἄλλως] *ἀλλ᾽ ὡς Ο.* *οὖν* om R.

145 *ἀπάγεις, ὦ Ἀργειφόντα, * χειραγωγῶν; ΕΡΜ. ἐπὶ
τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός. ΠΕΝ.
νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς
ἔχοντα ὑπὸ τῆς τρυφῆς παραλαβοῦσα, τουτοισὶ παρα-
δοῦσα, τῇ Σοφίᾳ καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ
πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν
ἡ Πενία δοκῶ καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα
εἶχον, ἀφαιρεῖσθαί με, ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασ-
μένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν Ὕβρει
καὶ Τύφῳ ἐγχειρίσας ὅμοιον τῷ πάλαι, μαλθακὸν καὶ
ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας ἀποδῷ πάλιν ἐμοὶ ῥάκος
ἤδη γεγενημένον; ΕΡΜ. ἔδοξε ταῦτα, ὦ Πενία, τῷ*
146 *Διί. ** 33. *ΠΕΝ. ἀπέρχομαι· καὶ ὑμεῖς δέ, ὦ Πόνε
καὶ Σοφία καὶ οἱ λοιποί, ἀκολουθεῖτέ μοι. οὗτος δὲ
τάχα εἴσεται, οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνερ-*

---

32. *Πεν.*] non solum *Πλοῦτος* verum etiam haec *Πενίας* persona adsumta est ex Arist. Plut. v. 415 sqq., ubi Paupertas inde ab v. 469 bona sua multo uberius exponit quam apud Lucianum.

ἐπὶ Τίμωνα] *ἐπὶ τὸν τίμωνα* R. *αὐτὸν* om *Ω*. *τούτοισι* A. *ἄρα*] *ἄνδρα* a (nulla distinctione post *ἀπέδειξα*), ubi ex T adscriptum *ἆρα*. *εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ*] hoc e comoedia nova ductum est. poeta incertus ap. Athen. X p. 458, a: *εὐκαταφρόνητός ἐστι πενία, Δερκύλε* et Menander ap. Stobaeum Flor. XCVI, 5: *εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης*. *κτῆμα*] id de personis hic positum et in D. Deor. VI, 3 item est poetarum. vide Soph. Antig. v. 782. *ἀφαιρεῖσθαί* ANΨΩ_2PR, *ἀφαιρεῖσθέ* (sed ultima litera in ras.) *Ω*, *ἀφαιρεῖσθέ O* et v. *ἐξηργασμένον* abc. *ἵν'*] *ἵνα* AR. *ἐγχειρίσας* A*O*ΨΩΩ_2PR cum Fabro, *ἐγχειρήσας* edd. vett. *μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον* (*ἀνόνητον* R) AΩΩ_2PR et v, *μαλθακὸν καὶ ἀνόητον* (omissis verbis *καὶ ἀγεννῆ*) *Ψ*, *μαλθακὸν καὶ ἀνόνητον* (sic) *καὶ ἀγεννῆ O* (ita *O*). nec delere verba *καὶ ἀγεννῆ* licet, quae superioribus *γενναῖον ἄνδρα — ἀπέδειξα* opposita sunt, neque mutandum est *ἀνόητον*, quod optime respondet ad superiora § 28, ubi Plutus loquitur: *συμπαρεισέρχεται μετ' ἐμοῦ — ἡ ἄνοια*. at vox *ἀνόνητος* ab Luciano rebus tribuitur, personis non item.

33. *ἀγαθὴν* codd. et edd. omnes, sed schol. Vossianus diserte legit: *ἀγαθόν*. hinc olim conjeci: *ἀγαθῶν*, quae ‚bona' deinceps recensentur, corpus sanum, sana mens et alia. comparabam Eurip. Bacch. v. 501: *κακῶν συνεργούς* jungebamque verba *οἵαν ἀγαθῶν*

γὸν καὶ διδάσκαλον τῶν ἀρίστων· ἢ συνὼν ὑγιεινὸς μὲν τὸ σῶμα, ἐρρωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν καὶ πρὸς αὐτὸν ἀποβλέπων, τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστὶν, ἀλλότρια ὑπολαμβάνων. ΕΡΜ. ἀπέρχονται· ἡμεῖς δὲ προσίωμεν αὐτῷ. 34. ΤΙΜ. τίνες ἐστὲ, ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε πάντως, μιαροὶ ὄντες· ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων ταῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω. ΕΡΜ. μηδαμῶς, ὦ Τίμων, μὴ βάλῃς· οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὑτοσὶ δὲ ὁ Πλοῦτος· ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν

συνεργόν. Cobetus autem in V. L. p. 295 v. ἀγαθήν vult deletum. nec sane ut nunc est istuc ἀγαθήν ferre possum. attici enim in his ipse Lucianus in Navigio § 13 certe tum ὡς praemittunt: οἵαν με οὖσαν ἀπολείψει ὡς ἀγαθὴν συνεργόν. quare alio tempore ὡς ἀγαθήν pro ἀγαθήν scribi hic volueram. πρὸς αὑτὸν Solanus. libri πρὸς αὐτόν. olim comparavi Bis Accusat. § 20 et § 21 itemque Tullium in Epp. ad Fam. V, 13, qui hanc laudem sapientiae statuit esse maximam non aliunde pendere nec extrinsecus suspensas vivendi habere rationes. ἡμεῖς δὲ] ἡμεῖς δὲ καὶ codex Fabri. primus error fuisse videtur: καὶ ἡμεῖς δέ, ortus ille ex § 33 init. ubi est: ἀπέρχομαι· καὶ ὑμεῖς δὲ —.

34. τίνες δὲ ἐστὲ N. ὦ κατάρατοι] de diris exsecrationibus, quibus Timon uti plurimis solebat, vide prolegomena nostra.

libri ἄπιτε, μιαροὶ πάντες ὄντες. at quum duo tantum adsint, Plutus et Mercurius, sequitur πάντες corruptum esse. quo vitio perspecto Bekker conjecit: ἄπιτε, μιαροὶ πάντως ὄντες. verum id quidem attici in his Aristophanes dicunt μιαρώτατοι, non μιαροὶ πάντως. hinc ego πάντως a Bekkero inventum leniter transposui: ἄπιτε πάντως, μιαροὶ ὄντες, i. e. ‚cur huc veneritis, nescio, certo tamen non impune hinc abibitis'. nam v. πάντως etiam cum futuro jungitur, sicut in Hermotim. § 4 med., ibid. § 6 init., D. Mort. XV, 3, Arist. Equit. v. 232 sq., Aesch. Prometh. v. 335 et ibid. v. 1057 ed. Herm. αὐτίκα μάλα ΨΩΩ₂PRO et v, μάλα om A solus. τοῖς βώλοις libri omnes (ΑΨΩΩ₂ diserte, puto etiam PRO), sed recte ταῖς βώλοις Hemsterhusius cum Berglero ad Alciphr. III, 34 p. 349, ubi Alciphro hunc ipsum Luciani l. imitatur: ταῖς βώλοις, inquit, τοὺς παριόντας βάλλει (ὁ Τίμων). adde Schwidopium in Obserww. Luc. III p. 2. μὴ βάλῃς] ex O Reiskius μὴ βάλλε, Spengelius autem μὴ βάλλῃς enotavit. οὑτοσὶ ΑΟΩΩ₂PR, οὗτος

εὐχῶν. ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον ἀποστὰς τῶν
147 πόνων. ΤΙΜ. καὶ ὑμεῖς οἰμώξεσθε ἤδη, * καίτοι θεοὶ ὄντες, ὥς φατε· πάντας γὰρ ἅμα καὶ ἀνθρώπους καὶ θεοὺς μισῶ, τουτονὶ δὲ τὸν τυφλὸν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ. ΠΛΟΥΤ. ἀπίωμεν, ὦ Ἑρμῆ, πρὸς τοῦ Διός· μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθω προσλαβών. 35. ΕΡΜ. μηδὲν σκαιὸν, ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλὼν προτείνας τὼ χεῖρε λάμβανε τὴν ἀγαθὴν τύχην καὶ πλούτει πάλιν καὶ ἴσθι Ἀθηναίων τὰ πρῶτα καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων, μόνος αὐτὸς εὐδαιμονῶν. ΤΙΜ. οὐδὲν ὑμῶν δέομαι· μὴ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα· τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι μηδενός μοι πλησιάζοντος.

ΕΡΜ. οὕτως, ὦ τᾶν, ἀπανθρώπως;
τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε κρατερόν τε;

148 * καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς,

---

Ψ et v. ἔπεμψε — εὐχῶν] in his si quid forte deest, nolim τῶν εὐχῶν mutare, sed dubitanter suppleo: ἔπεμψε δὲ ὁ Ζεὺς [ἐπὶ σὲ] ἐπακ. confer supra § 32 init. bis. ὑπακούσας Υ. οἰμώζεσθε O. καὶ ἀνθρώπους καὶ θεοὺς ΑΨΩ$Ω_2$PR, καὶ θεοὺς καὶ ἀνθρώπους O et v. ὅστις ἂν ᾖ] ὅστις ἄρ' ἦν R. ἀπίωμεν] ἀπίωμεν ἤδη O errore forsitan nato ex § 30: ἐπιβαίνωμεν ἤδη. μελαγχολᾶν — προσλαβών] haec quoque e comoedia nova noster duxisse videtur, in qua tales fere esse potuerant trimetri: μελαγχολᾶν ἄνθρωπος οὐ μετρίως δοκεῖ· | μὴ καὶ κακόν τι προσλάβω, [φυλάξομαι]. similia habet Menander ap. Stobaeum Flor. LXXIII, 42: μὴ μόνον | κακόν τι προσλάβοιμι.

35. ὑμῶν δέομαι· μὴ] δέομαι ὑμῶν. μὴ Ψ, ὑμῶν δεῖ ὅτι μὴ O (ita O). ὦ 'τᾶν a, ὦ τὰν A. post ἀπανθρώπως nulla interpunctio est in Aabc, qui error fortasse natus est ex ipso Homero Jl. ο', 201, qui sic: οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα, | τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε; at in Luciano qui ἀπανθρώπως addidit, duae sunt interrogationes, in Homero est simplex duntaxat et una. κρατερόν] καρτερόν A, κρατερηόν a.

μηδαμῶς] οὐδαμῶς (supra: μη) A.

οὕτως ἐπιμελουμένων σου τῶν θεῶν. 36. *ΤΙΜ. ἀλλὰ*
σοὶ μὲν, ὦ Ἑρμῆ, καὶ τῷ Διῒ πλείστη χάρις τῆς ἐπιμε-
λείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι. ΕΡΜ.
τί δή; ΤΙΜ. ὅτι καὶ πάλαι μυρίων μοι κακῶν αἴτιος
οὗτος κατέστη, κόλαξί τε παραδοὺς καὶ ἐπιβούλους ἐπα-
γαγὼν καὶ μῖσος ἐπεγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας
καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ ἄφνω καταλιπὼν
οὕτως ἀπίστως καὶ προδοτικῶς. ἡ βελτίστη δὲ Πενία
πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα καὶ μετ'
ἀληθείας καὶ παρρησίας προσομιλοῦσα τά τε ἀναγκαῖα
κάμνοντι παρεῖχε καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν
ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι
τοῦ βίου καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμὸς, ὃν
*οὔτε κόλαξ θωπεύων οὔτε συκοφάντης φοβῶν, * οὐ* 149
δῆμος παροξυνθεὶς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας,
οὐ τύραννος ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ' ἄν. 37.
ἐρρωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων, τὸν ἀγρὸν τουτονὶ
φιλοπόνως ἐργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν
ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης.
ὥστε παλίνδρομος, ὦ Ἑρμῆ, ἄπιθι τὸν Πλοῦτον ἐπανά-
γων τῷ Διί· ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν, πάντας ἀνθρώ-

---

36. *ὦ* (ante *Ἑρμῆ*) om AΨ. *καὶ πάλαι μυρίων*] *μυρίων καὶ πάλαι* R. *μοι κακῶν* AOΨΩΩ$_2$P, *κακῶν* (om *μοι*) R, *κακῶν μοι* v. *αἴτιος οὗτος* libri. *οὗτος αἴτιος O* apud Reiskium, non item Spengelium. *διαφθείρας* AOΨΩΩ$_2$PRYcd, *καταφθείρας* ab et pleraeque edd. ante Lehmannum. vide quae infra ad § 44 init. dicentur. *ἐπαίδευεν OΩΩ$_2$*R et v, *ἐπαίδευσεν* AΨP. *ἐξ αὐτοῦ*] *ἐξαύτου O.* *ἀπαρτίσασα* A. male Lennepius ad Phalar. p. 169 *ἀναρτήσασα* conjecit. h. l. dictio est figurata, eadem autem est sed propria in Verr. Hist. II, 31. *δείξασα*] *δείξας O.* *ὁ ἐμὸς*] *ὁ* om R.

37. *ἐρρωμένως* AOa. *τὸν ἀγρὸν τουτονὶ* AOΨΩ$_2$PR, *τρυτονὶ τὸν ἀγρὸν Ω* et v. *φιλοπόνως*] *φιλοφρόνως Ψ.* *ἐργαζόμενος* AΨPR, *ἐπεργαζόμενος OΩΩ$_2$* et v. de eadem re idem verbum supra exstat § 6 init: *ἐργάζομαι τὴν γῆν.* *οὐδὲν*] *οὐδὲ* R.

διαρκῆ] *αὐτάρκη O.* *ἄλφιτα παρὰ*] *ἄλφιτα περὶ Ψ*, *ἄλφιτα παραπαρὰ* (sic) *O.* *ὦ ἑρμῆ ἄπιθι* AΩΩ$_2$, *ἄπιθι ὦ Ἑρμῆ* ΨPRO et v. libri *ἀπαγαγὼν* vitio duplici. sicut Mercurius supra (§ 19: *ἐπανιὼν πρὸς ἡμᾶς*) ad Jovem dictus est ‚redire': ita nunc idem

πους ἡβηδὸν οἰμώζειν ποιῆσαι. ΕΡΜ. μηδαμῶς, ὠγαθέ· οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα καὶ μειρακιώδη, καὶ τὸν Πλοῦτον παράλαβε. οὗτοι ἀπόβλητά ἐστι τὰ δῶρα τὰ παρὰ τοῦ Διός. ΠΛΟΥΤ. βούλει, ὦ Τίμων, δικαιολογήσομαι πρὸς σέ; ἢ χαλεπανεῖς μοι λέγοντι; ΤΙΜ. λέγε, μὴ μακρὰ μέντοι μηδὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες· ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα διὰ τὸν Ἑρμῆν τουτονί. 38. * *ΠΛΟΥΤ. ἐχρῆν μὲν ἴσως καὶ μακρὰ εἰπεῖν [πρὸς] οὕτω πολλὰ ὑπὸ σοῦ κατη-*

Mercurius Plutum jubetur ad Jovem ‚reducere'. quam reductionem poscit etiam vox de cursu reciproco legitima, *παλίνδρομος* (*παλινδρομεῖν* et *ἐπανέρχεσθαι* synonyma sunt in Abdicato § 32). quum igitur ‚reducendi' notione plane hic opus sit, pro isto *ΑΠΑΓΑΓΩΝ* dudum ego correxi *ΕΠΑΝΑΓΩΝ*. sed altero tantum vitio sublato Cobetus V. L. p. 223 aliique pro *ἀπαγαγών* conjecerunt *ἀπάγων*. frustra. nam hoc verbum, quod supra (§ 32 init: *ποῖ τοῦτον ἀπάγεις*;) bene se habet, in nostrum l. ita demum caderet, si Jupiter vulgo habitus esset pro quodam paupere. *ἱκανὸν ἦν, — ποιῆσαι*] Hemsterhusi conjecturam: *ἱκανόν, ἦν — ποιήσω* propterea improbo, quia id quod hic optatur, effectum reddi non potest. cave mutes scripturam librorum. *τὰ ὀργίλα καὶ μειρακιώδη ταῦτα* O. *ἀπόβλητά ἐστι* ΑΟΨΩΩ₂PR cum Homero Jl. *γ'*, 65, *ἀπόβλητά εἰσι* edd. ante Lehmannum. *δικαιολογήσομαι* libri et verbo *βούλει* (*θέλεις*) Futurum quoque interdum Lucianus subnectit. Hemsterhusius tamen aliique malunt *δικαιολογήσωμαι*, fortassis recte. *πρὸς σέ*;] praestat *πρός σε*; libri *χαλεπαίνεις*. sed recte Cobetus V. L. p. 223: *χαλεπανεῖς*. *μακρὰ* ΑΟΨΩΩ₂PRYa, *μακρὰν* bcd et pleraeque edd. ante Hemsterhusium. vide § 38 init. etiam in Luciano saepe variatur *λέγειν μακρὰ* et *μακράν*, ita tamen ut optimi libri ubique habeant *μακρά*. per se etiam illud atticum est: *μὴ μακρὰν λέγε*, ut apud Aristophanem Thesmoph. v. 382: *μακρὰν ἔοικε λέξειν*. nusquam tamen ita Lucianus, qui sine ellipsi dicere solet: *ῥῆσίν τινα μακρὰν λέγειν*. *σε ὀλίγα λέγοντα*] *ὀλίγα λέγοντά σε* (hoc ordine) legit scholiasta. *Ἑρμῆν* ΑΟΨΩ₂PR, *Ἑρμῆ* Ω (diserte) et edd. vett.

38. non Plutus, ut l. nostro (quae res eodem redit), sed *Πενία* dea tanquam coram judice causam dicit in Aristoph. Pluto v. 467 sqq. libri *ἐχρῆν μέντοι ἴσως* —. ego in Quaestt. L. Praefat. p. XXVIII ut fieri oportuit, *ἐχρῆν μὲν ἴσως* emendavi. libri *οὕτω πολλὰ* —. sed *πρὸς οὕτω πολλά* praeclare correxit primus

γορηθέντα· ὅμως δὲ ὅρα εἴ τί σε, ὡς φῄς, ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς καὶ προεδρίας καὶ στεφάνων καὶ τῆς ἄλλης τρυφῆς, (περίβλεπτός τε [γὰρ] καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα καὶ περισπούδαστος·) εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι· μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλες ἀνδράσι καταράτοις, ἐπαινοῦσι καὶ καταγοητεύουσι καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι· καὶ τό γε τελευταῖον ἔφησθα, ὡς προδέδωκά σε, τοὐναντίον δ' ἂν αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς οἰκίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλανίδος ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτέθεικεν. ὥστε μάρτυς ὁ Ἑρμῆς οὑτοσί, πῶς ἱκέτευον τὸν Δία μηκέθ' ἥκειν παρὰ σὲ οὕτω δυσμενῶς μοι

